SISMANOGLIO

[illegible]

[illegible]

# ΙΕΡΟΓΡΑΦΙΚΗ
# ΑΡΜΟΝΙΑ

Ἐκ διαφόρων ἐμμέτρων Ποιημάτων

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΠΤΩΧΟΠΡΟΔΡΟΜΟΥ

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΠΙΣΙΔΟΥ

Διακόνου καὶ Χαρτοφύλακος τῆς μεγάλης Ἐκκλησίας,

Καὶ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

Εἰς ἓν συντεθεῖσα, καὶ διορθωθεῖσα, ἀξιοχρέως προσεφωνήθη

ΤΩ ΠΑΝΑΓΙΩΤΑΤΩ ΚΑΙ ΘΕΙΟΤΑΤΩ ΟΙΚΟΥΜΕΝΙΚΩ ΠΑΤΡΙΑΡΧΗ ΚΥΡΙΩ

## ΚΥΡΙΩ ΚΑΛΛΙΝΙΚΩ

Παρὰ τοῦ ἐξ Ἀδριανουπόλεως Ἐλλογιμωτάτου μεγάλου Ἀρχιδιακόνου τῆς Ἁγίας τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας.

ΚΥΡΙΟΥ ΚΥΡΙΛΛΟΥ

Οὗ καὶ τοῖς ἀναλώμασι διὰ κοινὴν τοῦ γένους ὠφέλειαν ἤδη τύποις ἐξεδόθη.

Ἐν τῷ τοῦ Πατριαρχείου τῆς Κωνσταντινουπόλεως τυπογραφείῳ. Ἔτει αωβ΄. 1802.

## ΤΟΥ ΕΞΟΧΩΤΑΤΟΥ ΑΡΧΟΝΤΟΣ ΙΑΤΡΟΥ ΒΑΣΙΛΕΙΟΥ
### ὡς ἐκ τῆς Τυπογραφίας εἰς τὸν Φιλογενῆ Ἀναγνώστην.

Ἣν χερσὶ κρατεῖς ἱερὰν βίβλον ξένε,
Κύριλλος ἐλλόγιμος ἀτρύτοις πόνοις,
Πρῶτος διηκόνησε πρώτου Ποιμένος,
Ἐς φῶς δέδωκεν ἄρτι λαμπρῷ τῷ τύπῳ.
Ἀρχὴν ἀληθῆ τοῖς σοφοῖς κοσμουργίας,
Κἄλλα Γραφῆς λόγια τῆς θεοσδότου.
Πιστοῖς νέμει ἄριστα, μέλπουσ' ἡδέως.
Ἐμοὶ δὲ πλοῦτον ἀρίδοξον καὶ κλέος.
Χάριτας οὖν τ' ἀνδρὶ πάντες εἴσομεν.

## ΕΤΕΡΑ ΑΝΕΠΙΓΡΑΦΑ.

Ὁρᾷς, θεατὰ, ἁρμονίαν φυτῶνος;
Πρόκυψον, ἅψαι τῶν φυτῶν, οὐδεὶς φθόνος.
Ἰδοὺ κρῖνον, τρύγησον, ἀλλὰ σωφρόνως.
Ἰδοὺ χλόη, τρύφησον, ἀλλὰ μετρίως.
Ὕδωρ ἰδοὺ ῥόφησον, ἀλλ' οὐκ εἰς κόρον.
Ὡς ἐν τύποις δὲ καὶ σεαυτόν μοι βλέπε,
Ἀνθεῖς, ἀπανθεῖς, τοῦτο δὴ καὶ τοῦ κρίνου.
Θάλλεις, μαραίνῃ, τοῦτο δὴ καὶ τῆς χλόης.
Ῥέεις, παρέρχῃ, τοῦτο καὶ τῶν ὑδάτων.
Ἂν ὡς ἔφην ἄνθρωπε τὸν κῆπόν βλέπῃς,
Πλήσεις μὲν οἶδα καὶ χαρᾶς τὴν καρδίαν,
Καὶ ψυχικὴν δὲ κερδανεῖς σωτηρίαν.
Ὁρῶν σε κῆπε καὶ τὰ δένδρα σου βλέπων,
Ἀγάλλομαι μὲν τῇ θέᾳ τὴν καρδίαν,
Φαντάζομαι δὲ τῆς Ἐδὲμ τὸ χωρίον,
Καὶ βούλομαι μὲν τοῖς φυτοῖς προσεγγίσαι.
Πλὴν τοῦ φυτοῦ τὴν γεῦσιν εἰς νοῦν λαμβάνω,
Ἐξ οὗ φαγὼν ὤλισθον εἰς ἁμαρτίαν,
Θέλω τρυγῆσαι καὶ φαγεῖν, ἀλλὰ τρέμω,
Μὴ γνώσεως τὸ ξύλον ἐκφαγὼν θάνω.
Ἄνθρωπε δεῦρο καὶ τρύγησον, καὶ φάγε,
Ἀκινδύνως γὰρ καὶ τρυγήσεις καὶ φάγῃς,
Μόνον τὸ λίχνον ἐκδιώξας μακρόθεν.
Τὸν ὑάκινθον κεῖρε, τοῦ κρίνου δρέπου.
Τρύγα τὸ μίλτον, λάμβανε τοῦ βαλσάμου,
Οὐχ ὡς δι' αὐτῶν θηλυνεῖς τὴν καρδίαν,
Ἀλλ' ὡς τρυγήσῃς μυστικὴν εὐωδίαν,
Τοῖς κτίσμασι γνοὺς τὸν κτίσαντα δεσπότην.
Βαβαὶ πόσαις ὁ κῆπος ἡδοναῖς βρίθεις,
Κρινωνιὰς ἐκεῖθεν εὐθαλεῖς φύεις,
Ῥοδωνιὰς ἐντεῦθεν ἀνθούσας φέρεις,
Ἰωνιαῖς τέθηλας, ἄνθεσι βρύεις,
Ὕδωρ ἀναρρεῖς ἐκ φλεβὸς τερασίας,
Ἀνατρέχον μὲν ὑπὸ λεπτῷ τῷ λόφῳ,
Ἰδεῖν δὲ λαμπρὸν, καὶ πιεῖν ὑπὲρ μέλι,
Καὶ τοὺς ὁρῶντας ἡδύνεις πολυτρόπως.
Τὴν καλλονὴν ἄνθρωπε τοῦ ῥόδου βλέπων,
Καὶ τὰς ἀκάνθας εὐφυῶς περισκόπει,
Κἀντεῦθεν εἰς ἔννοιαν ἐλθὲ τοῦ βίου.
Ὡς ὁ τρυγῶν γὰρ τὸ γλυκύπνοον ῥόδον,
Ἐκ τῶν ἀκανθῶν αἱματοῖ τοὺς δακτύλους,
Οὕτως ἁπάντων ἀγαθῶν κοινωνία,
Ἁλίσκεται μὲν, ἀλλὰ μυρίοις πόνοις,
Οὐκ ἔστι γὰρ ἄμοχθον οὐδὲν ἐν βίῳ.

Τῷ

Τῷ Παναγιωτάτῳ, Θειοτάτῳ, καὶ Σεβασμιωτάτῳ μοι Αὐθέντῃ, καὶ Δεσπότῃ, τῷ Οἰκουμενικῷ Πατριάρχῃ Κυρίῳ Κυρίῳ Καλλινίκῳ τὴν μετὰ βαθυτάτης ὑποκλίσεως ἐδαφιαίαν προσκύνησιν δουλικῶς ἀπονέμω.

Δεινὸς μὲν ὁ τῆς τοῦ Γένους ὠφελείας ἔχει με πόθος, Παναγιώτατε Δέσποτα, ἀλλὰ καὶ τὸ πρὸς τὴν ὑμετέραν Θειοτάτην Παναγιότητα καθῆκόν μοι τῆς εὐγνωμοσύνης ἀπαραίτητον, δι' ὃ μὲν γὰρ τὸ εἶναι, δι' ἣν δὲ τὸ εὖ εἶναι Σύνοιδα ἐμαυτῷ ἔχων, καὶ πολλῶν τε καὶ μεγάλων ἠξιωμένος τῶν χαρίτων. καλὸν μὲν οὖν ἂν εἴην, καὶ δίκαιον πεπραχὼς, Θειότατε Πάτερ, εἰ καὶ τὸν ἐνόντα μοι τρόπον ἐπιβαλοίμην, τῇ μὲν κἂν μικρόν τι συνεισενεγκεῖν τῶν λυσιτελούντων, τῇ δὲ τὸ καθῆκον ἀφοσιώσασθαι τῆς εὐγνωμοσύνης. Ἵνα καὶ τὸν πόθον ὁπωσοῦν πληρώσω, καὶ τοῦ ὀφλήματος ἀποτίσω βραχύ τι. ἀλλά μοι ὅπως ἂν ἀμφοτέροις τὰ δέοντα ἐπιτελεσθήσεται, διανοουμένῳ, Παναγιώτατε Δέσποτα οὐδὲν οὕτως ἔδοξεν ἔν γε τῷ παρόντι συμβαλέσθαι ἄν μοι πρὸς τὸν σκοπὸν, ὡς ἡ τῆς βίβλου ταύτης ἐν τύποις ἔκδοσις, τῶν ἐπωφελεστάτων οὔσης, ὡς οἶμαι, καὶ θείων αὕτη γὰρ προῆλθε μέν ποτε τῶν Θεσπεσίων ἐκείνων ἀνδρῶν Θεοδώρου τοῦ πτωχοπροδρόμου, Γεωργίου τοῦ Πισίδου, καὶ Νικηφόρου τοῦ Ξανθοπούλου, σοφίᾳ οὐχ ἧττον ἢ εὐσεβείᾳ κεκοσμημένων, μέτροις μὲν τοῖς κατὰ ποιητικὴν διαλλαττόντων, ἐννοίαις δὲ τὰ αὐτὰ ἀλλήλοις ἀπαγγελλόντων, ἡδέα τε σφόδρα, καὶ οὐκ ἀξύμφορα, ἅπαξ δ' ὅμως πρὸ διακοσίων ἐτῶν καὶ ἐπέκεινα ἐκδοθεῖσα τῷ τύπῳ, μικροῦ δὴ τανῦν καὶ ἐκλέλοιπεν. ἐκθειάζειν μὲν οὖν ἔγωγε κατ' ἀξίαν τὰς ἐν αὐτῇ χάριτας οὐχ οἷός τε ὢν, ἄλλοις τῶν κατ'

αὐτὴν

SISMANOGLIO

αὐτὴν ἐγκωμίων ἐξίσαμι, ὅσοις δὴ καὶ γλῶττα καὶ χεὶρ ἱκανῶς ἤσκηται περὶ τὰ τοιαῦτα· εἴποι γὰρ ἄντις, καὶ ἴσως ἐν δίκῃ, ὡς ταύτης ἔτι θειότερον ἅψεται πώς. τοῦτο δ' αὐτὸς μάλα σαφῶς εἰδὼς, ὅτι προσφιλὴς μὲν ἡ βίβλος τοῖς φιλομούσοις τῶν νέων, καὶ περισπούδαστος, μεγάλην τε τὴν τέρψιν, καὶ οὐκ ὀλίγην παρεχομένη τὴν ὄνησιν, φέρει δ' αὐτοῖς τῇ τύπου ἐκλείψει πολλὴν μὲν τὴν ἀθυμίαν, πολλὴν δὲ τὴν δυσχέρειαν, οὐκ ἄνευ πόνων τὴν μεταγραφὴν ποιουμένοις, καὶ ἐκ χειρογράφων τὰ πολλὰ διεφθορότων, οὐ φέρων μὴ κατά γε τοῦτο τῇ τῶν ὁμογενῶν μοι φιλομαθείᾳ χαρίσασθαι, ῥᾳδίαν τὴν αὐτῆς ποιησάμενος κτῆσιν, οὐ μετρίως καὶ εὐφραίνειν, καὶ ὠφελεῖν ἐχούσης τοὺς ἐντυγχάνοντας. Καὶ δὴ σπουδῇ τε πολλῇ καὶ ἀφειδίᾳ χρημάτων εἰς δεύτερον ἤδη καὶ καθαρώτερον τύπον ἔγνων ταύτην ἐκδοῦναι, καί τινα προσθήκην ἐπισυνάψας τῷ Νικηφόρου Φιλοπονήματι, ἀπό τε τῶν παρά τισι τῶν γηραιῶν ἀφιγμένων παραδόσεων, καὶ ἀπὸ τῶν πολλαχοῦ ἐνεσπαρμένων σημειωμάτων ἐρανισάμενος, οὐδὲν γὰρ ἴσως ἄχαρι, εἰ καὶ πλήρη τις ἄχρι τῶν ἐφ' ἡμῶν ἔχει τὴν ἐν αὐτῷ Ἱστορίαν, κατ' ὄνομα τοὺς ἄρξαντας ἄλλων τε γενῶν καὶ τοῦ καθ' ἡμᾶς ὀρθοδόξου μετὰ καὶ τῶν Πατριαρχῶν τῆς Βασιλίδος ταυτησὶ Πόλεως ἄχρι τῆς δεκάτης τρίτης ἑκατονταετηρίδος ἐκτιθεμένην. οὐ μὴν δ' ἀλλὰ καὶ ἀφορμῆς οὐκ ἀνοικείου τῆς βίβλου δραξάμενος, σημεῖον καί τι μικρὸν τῆς ὀφειλομένης μοι ἐκφέρω εὐγνωμοσύνης. πῶς γὰρ οὐκ ὀφειλέτης εἰς αἰῶνας ἐγὼ, Παναγιώτατε Δέσποτα, σοὶ τῷ κατὰ πάντα μοι εὐεργέτῃ, καὶ Πρυτάνει, παρ' οὗ μοι πολλαὶ μὲν αἱ χάριτες, μεγάλαι δ' αἱ περιθάλψεις, οὐ σήμερον, οὐδὲ χθὲς, ἀλλ' ἐν ὅλαις ἐτῶν περιόδοις, καὶ αὐτῷ δὴ παντὶ τῷ βίῳ τῷ κατ' ἐμέ; ἀλλὰ κατ' ἀξίαν τὸ εὔγνωμον ἄλλως ἐπιδείξασθαι μὴ δυνάμενος, μήτε πράγματι, μήτε λόγῳ, τὴν βίβλον σοι ταύτην ἀναθεῖναι διέγνωκα, τῷ Θειοτάτῳ μοι Πατρὶ, καὶ Δεσπότῃ σοὶ τοίνυν ταύτην προσφέρω καὶ ἀνατίθημι μετὰ τῆς δουλικῆς ὑποκλίσεως. καὶ δέξαιο δὴ μετ' εὐμενείας, Πάτερ Θειότατε, δέομαι. οὐ γὰρ, εἰ ἄρα μικρὸν τῆς εὐγνωμοσύνης τὸ σύμβολον, ἀποδοκιμασεῖς τὰ τῆς ἐμῆς προαιρέσεως, καὶ γάρ ποτε καὶ τῷ τῆς Περσίδος ἀνάσσοντι, βραχὺ μὲν τὸ ὕδωρ, καὶ ταῖς χερσὶ κοίλαις ὑπ' αὐτουργοῦ ἐπεδίδοτο, ὡς μέγα δέ τι δῶρον μετὰ προσηνείας Βασιλικῆς καὶ Πατρικῆς, ὡς εἰπεῖν, ἦν στεργόμενον, οὐ ποσότητι, ποιότητι δὲ μᾶλλον αὐτὸ θεωροῦντι. ἄλλως τε οὐδ' εἰ τῶν ἐλαχίστων ὁ προσφέρων ἐγὼ, οὐδ' ὡς ἐλάχιστον καὶ τὸ προσφερόμενον οἰκτέον, Ἱερὸν γὰρ τὸ χρῆμα, καὶ ὅλον τοῦ Πνεύματος. καὶ μάλιστα μὲν ὑπὸ τῶν πολλῶν σου, καὶ μεγάλων εὐποιιῶν, οὐχ ἥκιστα δὲ καὶ ὑπ' αὐτῆς δὴ τῆς βίβλου κινούμενος, σοὶ τῷ μεγάλῳ Ἀρχιποιμένι αὐτὴν ἀνατίθημι, ἐγκειμένη γάρ μοι ἐξῃτεῖτο Προστάτην οὐδένα, ἀλλ' ἢ τὴν ὑμετέραν Παναγιότητα, ἄλλα τε πλεῖστα, καὶ τὴν πρὸς αὐτὴν οἰκειότητα προβαλλομένη, οὐδέσι γὰρ ἄλλοις, ἢ τοῖς Ἱεροῖς τὰ Ἱερὰ, καὶ τοῖς τοῦ Πνεύματος ὑπηρέταις καὶ λάτρισι τὰ Πνευματικὰ προσφέρεσθαι δίκαιον εἶναι. ἐγὼ μὲν οὖν, Παναγιώτατε, καὶ Θειότατε Πάτερ, καὶ Δέσποτα, οἷς τε καὶ ὡς εἶχον. τὴν Ἰδίαν οὐ μεμπτὴν ἴσως βουλὴν εἰ καὶ μὴ ὡς ὅλως ἐχρῆν ἐκτετέλεκα, σὺ δέ μοι καὶ αὖθις εὔξαιο τοῦ τε πόθου καὶ τῆς ὀφειλῆς, ὅση δύναμις, πληρωτὴς φανῆναι, τοῦτο γὰρ ἂν ἔγωγε μάλιστα κερδᾶναι τοῦ μετὰ σώματος ὑπείληφα βίου, εἴποτε καὶ βραχύ τι τῷ τε ἐπεράστῳ μοι γένει χρήσιμος, καὶ σοὶ τῷ μεγίστῳ μοι εὐεργέτῃ εὐγνώμων ὀφθείην γενόμενος. ἀλλ' εἴης μοι μακροῖς τοῖς αἰῶσι συμπαρεκτείνων τὸ ζῆν, ἐπιδιδούς τε ἐν τοῖς κατὰ Θεὸν διαβήμασιν, ὡς ἥλιος καταυγάζων ἐπὶ τῆς ὑπερτάτης ταύτης σφαίρας διὰ βίου περιλαμπής, Ἵνα κοινὸν θ' ἅπασιν ὄφελος γένοιο. κἀμοὶ ἐν μέρει τὰς ζωογόνους ἐπιτέλλοις ἀκτῖνας, ἐξαιτοῦμαι δὲ παρὰ Θεοῦ ὑπὲρ αὐτῆς,

Αἰὲν τοι κάρτιστα ὑπείροχον ἔμμεναι ἄλλων
Ὄλβιον ἐν λαοῖς, καὶ γήραος οὐδὸν Ἱκέσθαι.

Κατὰ τὸν Ποιητὴν. ὑποδιατελῶν,

Τῆς σῆς Θειοτάτης, καὶ εὐεργετικῆς μοι Παναγιότητος

Δοῦλος ὑπήκοος, καὶ τέκνον εὐπειθὲς

ὁ Μ. Ἀρχιδιάκονος Κύριλλος.

Ἐπίγραμμα ἡρῳελεγεῖον εἰς τὸν Παναγιώτατον οἰκουμενικὸν Πατριάρχην Κύριον Κύριον Καλλίνικον.

Ὦ Βασίλεια Πόλις Κωνσταντίνου ἐρικυδής,
  Αὐχεῖς ἀτρεκέως, κάλλεσι παντοδαποῖς,
Καλλύνει δέ σε τῶν λοιπῶν ὡς ἔξοχ᾽ ἁπάντων,
  Καλλινίκου Ἀρχὴ, ἔνθεος Ἀρχιθύτου,
Ὃς νίκης φορέων δὴ καλῆς οὔνομ᾽ ἀγλαὸν,
  Ἄγει θειοσεβῆ, σεῖο λεὼ προφρόνως.

Ἕτερον ἡρῳελεγεῖον Κωνσταντίνου Υἱοῦ Φιλτάτου τοῦ Ἄρχοντος Ποστελνίκου Κυρίου Ἀντωνίου, εἰς τὸν ἀναγινώσκοντα.

Εἴσε ἔρως φλογέει ὄπα θείην ὡσὶ βαλέσθαι.
  Ἠδὲ παλαιτάταν πρόφρονα Ἱστορίην,
Νοῦν τ᾽ εὐαγγελίοιο, ἰδ᾽ ἔργματα θέσκελα πάντα,
  Κόσμου σύν τ᾽ ἀρχὴν, καὶ Φιλίης δὲ πέρι,
Ἔν δ᾽ ἄρα καὶ Βιότοιο μινυνθαδίηα κέλευθα.
  Τῶν μάλα δὲ χρειὼ εὐσεβέεσσι πέλει,
Δέλτον τήνδε Φίλος μετὰ χείρεσσιν λάβε σῇσιν,
  Λεύσεις δ᾽ ἀτρεκέως τῇ δ᾽ ἔνι πόλλ᾽ ἄμυδις.

Τοῦ αὐτοῦ ἕτερον ἡρωϊκὸν ὡς ἐκ τῆς βίβλου.

Πανδαμάτωρ με βάλον λήθης δνοφεροῖς γε μελάθροις
  Καί νυ ῥ᾽ ἄποπτός γ᾽ ὂν παραβύστοις λάνθανον. οἴμοι!
  Ἀλλὰ μάλ᾽ αἶψα νόησε βίη Κυρίλοιο ἀγαυοῦ,
  Ἀρχιδιηκονέοντος ἀριπρεπέος λογίοιο.
Καί με φόως δε πόρεν πρόφρων δαπάνῃσιν ἑῇσιν.
  Ἦρα φέρειν ποθέων μεθ᾽ ἑοῖσιν ὀπισθογόνοισιν.

Ἑτε-

Ἕτερον ἡρῳελεγεῖον Νικολάου τοῦ λογάδου.

Ἔρρετε Ἡσιόδοιο παλαίφατα ἔργματα, κἄλλοι.
  Ἰδμοσύνας θείης νήϊδες οἳ πέλετε.
Βαιὸν ἄπο, Καρτεσίου αὖ Παγγενέτειρα νόησις,
  Ἄλλοι τ᾽ ἀλιτροὶ, ψεύδεα βάζεθ᾽ ὅσοι.
Ἠνὶ γὰρ ὧδε ἅπανθ᾽ ὁράω καλὰ ἔργα θεοῖο,
  Φρασδόμεν᾽ ἀτρεκέως Ἱστορίῃ προφρόνῳ·
Γαῖαν, ἀῆρα, ὕδωρ τε, ὄλυμπόντ᾽ ἀστερόεντα,
  Ἄνδρα δὲ εὔτυκτον, παντοδαπὰς φύσιας·
Πλεῦνά τε ἄλλα βροτῶν ἀγακλειτῶν πρήγματα· ἅττα
  Τερπωλὴ ἁγνᾶς Ἱστορίης ζαφίλου.
Τεῦχος ὅδ᾽ οὖν παντὸς φάσιν εὐφραδέως ἐπεὶ ἴσχει,
  πᾶν ἄρ᾽ ἔχει, ὡσεὶ ἓν μέρος εἶχεν ὅλον.

# ΠΙΝΑΞ

## ΤΩΝ ΕΝ ΤΗ ΠΑΡΟΥΣΗ ΒΙΒΛΩ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Σελίς


Κυροῦ Θεοδώρου τοῦ Πτωχοπροδρόμου Τετράστιχα Ἰαμβεῖα, καὶ Ἡρῷα εἰς τὴν Γένεσιν. 1
Εἰς τὴν Ἔξοδον. 12
Εἰς τὸ Λευϊτικόν. 19
Εἰς τοὺς Ἀριθμούς. 20
Εἰς τὸ Δευτερονόμιον. 24
Εἰς τὸν Ἰησοῦν. 25
Εἰς τοὺς Κριτάς. 28
Εἰς τὴν πρώτην τῶν Βασιλειῶν. 35
Εἰς τὴν δευτέραν τῶν Βασιλειῶν. 42
Εἰς τὴν τρίτην τῶν Βασιλειῶν. 48
Εἰς τὴν τετάρτην τῶν Βασιλειῶν. 53
Εἰς τὸ Ἱερὸν Εὐαγγέλιον Ματθαίου. 56

| | |
|---|---|
| Εἰς τὸν Μάρκον. | 70 |
| Εἰς τὸν Λȣκᾶν | 71 |
| Εἰς τὸν Ἰωάννην. | 75 |
| Εἰς τὰς πράξεις τῶν Ἀποςόλων | 78 |
| Εἰς τὸν βίον Γρηγορίȣ τȣ̃ Θεολόγȣ. | 86 |
| Εἰς τὸν βίον τȣ̃ μεγάλȣ Βασιλείȣ. | 90 |
| Εἰς τὸν βίον Ἰωάννȣ τȣ̃ Χρυσοςόμȣ. | 96 |
| Τȣ̃ αὐτȣ̃ Ἴαμβοι ἐπὶ ἀποδήμῳ τῇ Φιλίᾳ. | 103 |
| Εἰς τὴν θείαν Πρόνοιαν. | 108 |
| Εἰς τὸν Βαρέα. | 110 |
| Τȣ̃ Διδασκάλȣ Κυρȣ̃ Σεργίȣ τȣ̃ Μακραίȣ Ὠδή. | 115 |
| Πίναξ τῶν Πισιδείων Λέξεων. | 119 |
| Γεωργίȣ τȣ̃ Πισίδȣ ἑξαήμερος ἢ κοσμȣργία. | 121 |
| Τȣ̃ αὐτȣ̃ εἰς τὸν μάταιον βίον. | 150 |
| Κυρȣ̃ Νικηφόρȣ τȣ̃ Ξανθοπȣ́λȣ Σύνοψις θείας γραφῆς | 155 |
| Ἐκ τῶν Ἱςοριῶν Ἰωσήπȣ. | 171 |
| Ἅλωσις Ἰερȣσαλὴμ κατὰ Ἰώσηπον. | 179 |
| Ἱςορικὴ ἀπαρίθμησις τῶν κατὰ Φυλὰς, ϗ τόπȣς ἀρξάντων. | 182 |
| Χριςȣ̃ Γενεαλογία. | 192 |
| Μηνολόγιον. | 197 |


ΕΚ ΤΩΝ ΤΟΥ ΣΟΥΙΔΑ.

ΓΕΩΡΓΙΟΣ Διάκονος τῆς μεγάλης Ἐκκλησίας, ϗ Χαρτοφύλαξ, τȣ̃πίκλην Πισίδης ἔγραψεν ἑξαήμερον δι' Ἰάμβων, εἰς ἔπη τρισχίλια. εἰς Ἡράκλειον τὸν βασιλέα, ϗ εἰς τὸν κατὰ Περσῶν πόλεμον· ἔτι τε Ἀβαρικὰ καταλογάδην ἐγκώμιον εἰς τὸν Μάρτυρα Ἀναςάσιον.

» Μακάριος ὃς ἐν τȣ́τοις ἀναςραφήσεται, ϗ ὁ θεὶς αὐτὰ ἐπὶ καρδίαν
» αὐτȣ̃, σοφισθήσεται. Σοφ. Σειρὰχ. Κεφ. ν'. 28.

# ΚΥΡΟΥ
# ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΠΡΟΔΡΟΜΟΥ
## ΤΕΤΡΑΣΤΙΧΑ ΙΑΜΒΕΙΑ, ΚΑΙ ΗΡΩΑ.

Εἰς τὰ κεφαλαιωδῶς ῥηθέντα ἐν τῇ παλαιᾷ πάσῃ Γραφῇ.

## ΓΕΝΕΣΙΣ

Εἰς τὸ ἑξαήμερον ἔργον τȣ̃ Θεοῦ.

ἘΝ ἡμέραις ἓξ τὴν κτίσιν κτίζεις, λόγε,
Οὐχ ὡς ἐν τῇ τὸν κόσμον ἀσθενῶν κτίσαι.
Ἀλλ' ἵνα ταῖς ἓξ προσιθεὶς τὴν ἑβδόμην,
Τὸν σαββατισμὸν τὸν τελευταῖον μαθω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἤματι μὲν πρώτῳ γῆ, ϗ πόλος, ἐνδὲ χυτὸν φῶς.
Δευτέρῳ αὖ ςερέωμα, τρίτῳ δ' ἅλς, ϗ φυτὰ πάντα.
Ἀςέρες ἐν τετράτῳ δὲ, πετεινὰ δὲ νηκτά τε πέμπτῳ.
Ἕκτῳ πεζὰ δὲ φῦλα, βροτὸς δ' ἐπὶ τοῖσι δομήθη.

ΕΙΣ ΤΗΝ ΚΤΙΣΙΝ ΤΟΥ ΚΟΣΜΟΥ

Ὦ καινὲ τέκτον ȣ̓ρανȣ̃, ϗ γῆς, λόγε, Πρῶτα ςεγάζεις, εἶτα βάθρα πηγνύεις
Καὶ δημιȣργεῖς ȣ̓ρανȣ̃ γῆν δευτέραν, Καὶ ταῦτα τῆς σῆς πανσόφȣ λεπτȣργίας

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἶχε θεοπροπίην Μωϋσέος ȣ̓κ ἀσι βάλε
Σοῖσιν, Ἀριςότελες, τάχ' ἂν ȣ̓ρανὸν ἀμφανόησας
Κτίσμα Θεȣ̃ μεγάλοιο σάφ' ἔμμεναι, ȣ̓δέ τε πειθοῖ



SISMANOGLIO MEGARO

Κλεψινόῳ ἀγένητον ἔφησθά μιν, ἀλλὰ γενητόν.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΣΤΕΡΕΩΜΑΤΟΣ ΚΤΙΣΙΝ.

Εἶδες Θεὸν χθὲς οὐρανοῦ πλάσιν ξένε, Ὅρα τὸν αὐτὸν οὐρανοῦ πλάσιν, πάλιν.
Ὁ χθὲς μὲν ἦν ἄναστρος, ἡ πρώτη πλάσις, Τὸν δεύτερον δὲ λαμπρυνοῦσιν ἀστέρες.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μεσσηγὺς δύο πόντων οὐρανὸς ἀμφετανύσθη,
Ὃν μὲν ὕπερθε φέρων ἀπερείσιον, ὃν δ' ὑπένερθε.
Τῶν ἄρ' ἀποκριθέντων, θεσπεσίῳ τ' ἐνὶ φραγμῷ
Τὸν μὲν ἀνὴρ περάᾳ τὸν δ' ἄτερον οὔ τι πω ἴδμεν.

ΕΙΣ ΤΟ ΕΞΑΓΑΓΕΤΩ Η ΓΗ ΒΟΤΑΝΗΝ, ΚΑΙ ξύλα καρποφόρα.

Τῆς γῆς τὸ σῶμα γυμνὸν ἔκτισας, λόγε, Ἀλλ' ἐνδύεις νῦν, καὶ στολίζεις κοσμίως,
Χόρτοις, πόαις, ἅπαντι καρπίμῳ ξύλῳ, Λόγῳ δὲ μικρῷ πάντα κηπεύεις τόπον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γῆ φυτὰ πάντα πρόφυσον, ἔφη Θεός, ἡ δ' ὑπάκουσε.
Καὶ πλάτανόν τε, κέδρον τε συκῆν τε φύσ', ἄλλα τε δένδρα,
Ἐν δὲ ῥόδον τε, κρίνον τε καὶ ἀνθεμόενθ' ὑάκινθον,
Καί σφιν ἐνεστεφάνωτο ἑῷ δ' ἐπεγάννυτο κάλλει.

ΕΙΣ ΤΗΝ ΤΩΝ ΑΣΤΕΡΩΝ ΔΗΜΙΟΥΡΓΙΑΝ.

Τὸ χθὲς χυτὸν φῶς σήμερον συνεστάλη, Τὸν ἡλιακὸν δίσκον εὑρὸν οἰκίαν.
Τὸ δεύτερον δὲ τῶν δύο σφαιρωμάτων, Τὸ μέχρι νῦν ἄναστρον ἀστέρων γέμει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γαῖά τε, καὶ στερέωμα ἀκαλλέα γέντο κατ' ἀρχάς,
Ἀγλαὰ δ' ἀμφοτέροισι Θεὸς μετενείματο κάλλη.
Γῆν γὰρ χθὲς βοτάνῃσι, καὶ οὐρανὸν ἄστρασιν ἄρτι
Ῥήματι ἀμφὶ μόνῳ κατεκάλλυνεν, ὢ μέγα ῥῆμα.

ΕΙΣ ΤΗΝ ΤΩΝ ΝΗΚΤΩΝ ΚΑΙ ΠΤΗΝΩΝ ζώων γένεσιν.

Ἄψυχον οὖσαν τὴν φύσιν τῶν ὑδάτων, Ψυχὰς κυΐσκειν πῇ ἐπιτρέπεις, λόγε,
Τὰ πτηνά φημι, καὶ τὰ νηκτὰ θηρία.
Πάντως καθ' οὓς σὺ μυστικοὺς οἶδας λόγους.





ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νηκτὰ μὲν ἐξ ὑδάτων ὀρθῶς ἔφυ, τοῖς ἐνέοντα,
Πτηνὰ δὲ τ' ἐξ ὑδάτων πῶς ἄρ' ἔφυ ἠερόφοιτα;
Σῆς τάδε πάμμεγ' ἄνα πολυμήχανα δήνεα τέχνης,
Ὅς ῥα καὶ ἐξ οὐκ ὄντος ἐδείμαο κόσμον ἅπαντα.

ΕΙΣ ΤΗΝ ΠΛΑΣΙΝ ΤΟΥ ΑΔΑΜ.

Γῆς υἱὸς Ἀδάμ, γῆς ἄναξ, γῆς ἐργάτης, Τὸ μὲν πεφυκώς, ἐκ χοὸς γὰρ ἡ πλάσις.
Τὸ δ' ἀξιωθείς, ὡς Θεοῦ κατ' εἰκόνα, Τὸ δὲ κριθείς, κόλασιν ἐνδικωτάτην.

ΕΙΣ ΤΟ ΑΥΤΟ

Γῆ, πόλος, ἐνδὲ φόως, καὶ τείρεα, νηκτά τε πάντα,
Πτηνά τε πεζά τε πάντα Θεοῦ φαμένοιο τελέσθη.
Μοῦνος Ἀδὰμ παλάμῃσιν ὑπ' ἀθανάτοισι δομήθη,
Πνοιὴν θεσπεσίην δὲ γέρας λάχεν ἔξοχον ἄλλων.

ΕΙΣ ΤΗΝ ΤΗΣ ΕΥΑΣ ΠΛΑΣΙΝ.

Ὑπνοῖ δ' ἐκεῖνος, ἢ νενέκρωται, ξένε, Ὃς τὴν ὅλην γοῦν πλευρὰν ἀφῃρημένος
Κεῖται τανυσθείς, οὐδ' ἐπέγνω τὸ δρᾶμα; Σίγα, Θεὸς δρᾷ τῆς γυναικὸς τὴν πλάσιν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐκ χθονὸς ἄνδρα τέτευχεν Ἀδὰμ Θεός, ἦ ῥα καὶ Εὔαν
Οὐχὶ θέλων ἂν ἔτευξεν ἀπὸ χθονός; ἦ μάλα τοῦτο.
Νῦν δέ μιν ἐξ ἀνέρος πλευρῆς πλάσεν, ὄφρα μιγέντες
Ἀνέρες ἠδὲ γυναῖκες ὁμόφρονα θυμὸν ἔχωσιν.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΟΦΕΩΣ ΑΠΑΤΗΝ.

Δαίμων, φθόνος, γύναιον, ἡδονῆς ξύλον Ἀπεκδύουσιν, ἐξ Ἐδὲμ πέμπουσί με.
Θεός, πόθος, γύναιον, ἔντιμον ξύλον Ἐπενδύουσιν, εἰς Ἐδὲμ πέμπουσί με.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τλῆμον Ἀδάμ, τί παθὼν γυμνὸς περὶ δένδρεϊ κεύθῃ;
Κλεπτοσύνη μ' ἀπάτησεν ἐπὴν δάμαρ ἥ πόρε καρπὸν
Ἔδμεναι, οὐδ' ἀπίθησα, φαγὼν δὲ ἕ, γυμνὸς ἐλείφθην.
Ὤφελον οἶος ἐών, ἐνὶ κήπῳ τῷδε πολεύειν.

ΕΙΣ ΤΗΝ ΕΞΟΡΙΑΝ, ΚΑΙ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΚΑΪΝ.

Βλέπεις τὸν Ἀδάμ; ναὶ βλέπω, καὶ δακρύω,



SISMANOGLIO MEGARO

Ἐκβάλλεται γὰρ τῆς τρυφῆς τοῦ χωρίου.
Δέον δὲ μισεῖν τοῦ κακοῦ τὴν αἰτίαν,
Ὁ δ' ἀλλ' ἐπιγνοὺς παῖδα γεννᾷ τὸν Κάϊν·

ΕΙΣ ΤΟ ΑΥΤΟ

Ἐξ ἀπόνου βιότοιο, πόνον τ' ἐχέμεν, καὶ ὀϊζὺν,
Τλῆμον Ἀδὰμ, κέκρισαι, καὶ γηπόνον ἀντὶ Θεοῖο
Σατάν σε σχεδίασσε παραίφασις ἥ ῥα πιθήσας,
Πότμῳ ἔφυς ὑπόδικος, ἀναγκαίῃ τε πόνῳ τε·

ΕΙΣ ΤΗΝ ΣΦΑΓΗΝ ΤΟΥ ΑΒΕΛ.

Ὦ μιαρὰ χεὶρ τοῦ Κάϊν καὶ καρδία, Τί δρᾷς τὸν Ἄβελ, ἦ φονεύσας, εἰπέ μοι,
Ἔχεις ἀδελφὸν ἄλλον ἰδεῖν ἀντ' Ἄβελ, Ἦ πᾶς ὁ κόσμος οὐχὶ χωρεῖ τοὺς δύω;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τέσσαρες ἀμφὶ ῥ' ἅπασαν ἔσαν χθόνα ὀνναετῆρες,
Δοιοῖς πὰρ τοκέεσσιν, ἀδελφεὼ ἄρρενε δοιώ.
Καί ῥ' ὁ τὸν ἐξωνάριξε, Κάϊν Ἄβελ, αἷμα δὲ νεκροῦ
Νέρθεν ἄϋσ', ὁ δ' ἄκουσε Θεὸς, καὶ τύψε φονῆα.

ΕΙΣ ΤΗΝ ΜΕΤΑΘΕΣΙΝ ΕΝΩΧ.

Οὐ φθαρτὸς Ἀδὰμ ἔν γε τῇ πρώτῃ πλάσει,
Ἀλλὰ φθαρεὶς τέθνηκεν, οἶδας τὸν τρόπον·
Ἐνὼχ δὲ πλασθεὶς εἰς φθορὰν οὐκ ἐφθάρη,
Ἀλλ' εἰς ἔτι ζῇ, μανθάνεις τὴν αἰτίαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τὸν Σὴθ Ἀδὰμ ἔφυσσεν, Ἐνὼς δ' ἐκυήσατο κεῖνος·
Αὐτὰρ Ἐνὼς Καϊνὰν, ὁ δὲ Μαλελεὴλ λάχεν υἷα,
Ὃς δ' Ἰάρεδ γέννησεν, Ἐνὼχ δέ οἱ ἔπλετο παῖς,
Ὃς καὶ ἀθανασίην λάχεν ἐξ Ἀδὰμ ἕβδομος ἀνήρ.

ΕΙΣ ΤΟΝ ΕΠΙ ΝΩΕ ΚΑΤΑΚΛΥΣΜΟΝ.

Ἡ τοῦ Θεοῦ μὲν αὐτάγαθος χρηστότης Οὐκ οὖσαν ὑπέστησε τὴν πᾶσαν κτίσιν.
Ὁ τῶν βροτῶν δὲ πλημμελέστατος βίος Κατέκλυσε ξύμπασαν αὐτὴν ἀθρόον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νῶε σὺ σύν τε δάμαρτι, καὶ υἱέσιν, ἠδέ τε νυοῖς

Τὴν δ' ἐ-



Τὴν δ' ἐπὶ κιστὴν εἴσδυτε, ῥίζα βίοιο νέοιο.
Αὐτὰρ ἐγὼ βροτέην ἀπὸ φύτλην γῆθεν ἀείρω,
Πότμῳ λευγαλέῳ, ὑγρῷ δ' ὑπὸ σήματι κεύσω,

ΕΙΣ ΤΗΝ ΜΕΘΗΝ ΝΩΕ ΚΑΙ ΤΗΝ ΑΝΑΙΔΕΙΑΝ ΧΑΜ.

Σὴμ, Χὰμ Ἰάφεθ τέκνα τῷ Νῶε τρία Τούτων ὁ μὲν Χὰμ εὐλόγως κατηράθη,
Μὴ συγκαλύψας τοῦ πατρὸς τὴν αἰσχύνην Εὐχὴν δ' Ἰάφεθ ἅμα τῷ Σὴμ λαμ- (βάνει.

ΕΙΣ ΤΟ ΑΥΤΟ·

Νῶε πρὸ ...ἦμ' ἐφύτευσεν ἐρίβοτρυ, θλίψε δὲ καρπὸν,
Καὶ πίεν ἀρταλέως ζωρὸν μέθυ, ἐκ δὲ μεθύσθη,
Γυμνώθη δὲ πέπλοιο, καὶ ἀνδρομένην φάνεν αἰδῶ.
Οἰνοπόται, τρομέωμεν, ὁ γὰρ τύπος ἐγγύθι κεῖται.

ΕΙΣ ΤΗΝ ΠΥΡΓΟΠΟΙΙΑΝ.

Ὁ πύργος, οὐχὶ πύργος, ἀλλά τι ξένον, Αὐτοῦ γὰρ ἄχρις οὐρανοῦ σχεδὸν φθάνει.
Πλὴν βλέψον αὐτὸν, ὡς πεσὼν ἀνετράπη, Τῶν πυργοποιῶν συγχυθέντων τὴν (φράσιν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνδρες ὑπερφίαλοι κακὰ φρεσὶ μητιόωντο,
Πύργον ἀναστήσειν ἐπ' ὀλύμπου πείρατα μακρά,
Τὴν δ' ἄρα μῆτιν ἔερξε κακὴν Θεὸς, ἀμφὶ δὲ γλῶσσαν
Σύγχεε τὴν δομέουσαν, ὃ δ' οὐ τέλος ἔλλαβε πύργος.

ΕΙΣ ΤΟΝ ΑΒΡΑΑΜ ΕΞΕΡΧΟΜΕΝΟΝ ΕΚ ΤΗΣ ΓΗΣ ΑΥΤΟΥ.

Ὢ πίστις Ἄβραμ, πίστις ἀκραιφνεστάτη, Ἔξελθε γῆς, ἤκουσε, σῆς, καὶ, φεῦ τάχους
Ἐξῆλθεν εὐθὺς συλλαβὼν Λὼτ, καὶ Σάραν, Καὶ γῆν Χαναὰν ἔσχεν εἰς παροικίαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χαλδαΐην γενέθλην πολυπλανέα ἔκφυγεν Ἄβραμ,
Ἔκ δ' ἔβη ἀπιστίην δυσσεβέων γενετήρων,
Ἐκ δὲ Θεοῦ καλέοντος ἅμ' ἕσπετο σύν τε δάμαρτι,
Σύν θ' υἱωνῷ. ἀτάρ μιν ἀγάσσατο καὶ Θεὸς αὐτός

ΕΙΣ ΤΗΝ, ΔΙΑ ΤΟΝ ΛΙΜΟΝ, ΑΦΙΞΙΝ ΑΒΡΑΜ
εἰς Αἴγυπτον.

Ὡς ἐκφύγοι πως τοῦ λιμοῦ τὴν ἀγχόνην, Δι' ἣν ἀδελφὴν τὴν ὁμόζυγον λέγει
Ὁ Πατριάρχης, καὶ προδιδοῖ τὴν Σάραν Τοῖς ἀθέοις ἄρχουσι τῶν Αἰγυπτίων.

ΕΙΣ ΤΟ

SISMANOGLIO MEGARO

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κάλλιπε τήνδε δάμαρτα καλὴν Ἄβραμ, οὐ γὰρ ἔοικε
Τήνδε τεῆς Φαραὼ ὑπ' ἀγκοίνῃσι δαμῆναι.
Ἢ γὰρ ἐγώ σ' ἐτάσαιμι βαρειῶν ἐξ ὀδυνάων,
Εἴ οἱ ἐπαυθάδεας περὶ κοῖτον χεῖρας ἰήλῃς.

ΣΙΣ ΤΗΝ ΜΑΧΗΝ ΠΟΙΜΕΝΩΝ ΑΒΡΑΑΜ, ΚΑΙ Λῶτ, καὶ τὴν τούτων διαίρεσιν.

Ὢ πάντα δεινὴ τῆς φιλαυτίας νόσος. Δι' ἣν ὁ Λῶτ παρῆκε τὴν ξυναυλίαν
Τοῦ πατραδέλφου, πρὸς δὲ Σώδομα τρέχει. Ἐξ ὧν φυγῇ πρίαιτο τὴν σωτηρίαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δοιῆς παρ' ποίμνης δύο ποιμένες ἀντίοι ἔσαν,
Λῶτ μὲν ὃς, αὐτὰρ ὅ γ' Ἄβραμ, ἐπὶ προβάτοις δ' ἐμάχοντο.
Ἔνδ' ἄρα δεσποσύνοισιν ἀεικέα ὦσαν ὑπ' ὀργὴν,
Καί τ' ἔριδα ξυνέειχαν, ἀπ' ἀλλήλων δ' ἐμέρισαν.

ΕΙΣ ΤΗΝ ΝΙΚΗΝ, ΗΝ ΕΝΙΚΗΣΕΝ ΑΒΡΑΑΜ ΕΚ ΧΟΛΟΔΟΓΟ-μὼρ, ὅτε ϗ ὑποστρέφων εὐλογεῖται ὑπὸ Μελχισεδέκ.

Ὡς εὐλογητὸς Ἀβραὰμ τῷ Κυρίῳ, Σαλὴμ βασιλεὺς, ἱερεὺς Θεοῦ λέγει.
Καὶ τὴν καθ' ἡμᾶς εἰκονίζει θυσίαν, Ἄρτον μετ' οἴνου τῷ πατριάρχῃ φέρων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παισὶ τριηκοσίοισι, ϗ ὀκτὼ ϗ δέκα μένοις,
Ἔθνεα Ἄβραμ ὤλεσεν ἀλλοφύλων βασιλήων,
Ἐκ δ' ἄρα Λῶτ ἐσάωσεν ἁλώσιμον ἔγχεϊ ἐχθρῶν,
Σκῦλα δὲ πάντ' ἀπέθηκε παλίλλογα τοῖς Σοδομίταις.

ΕΙΣ ΑΒΡΑΑΜ ΤΟΝ ΤΡΙΑΝΔΡΑ ΞΕΝΙΖΟΝΤΑ.

Ὢ δρῦς ἀρίστη, δρῦς δρυῶν μακαρτάτη, Ὡς ὑπερήρθης ϗ κέδρων, ϗ λιβάνων.
Θεὸς γὰρ ἐν σοὶ, ϗ τίς ἀντάροιτό σοι; Ὅμως Ἀβραὰμ, οὐχὶ δρυὸς ἡ χάρις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ταῦτά σοι Ἄβραμ ἔπαθλα φιλαγάθοιο μενοινῆς,
Οὐρανὸς ἡ δρῦς ἔγεντο, ϗ ἡ Τριὰς ἤλυθ' ἐπ' αὐτὴν,
Καὶ φάγεν ἐνδ', ἐστὶ κρυπτῆς τάδε οἰκονομίης,
Καὶ πόρεν ἐξ ἀτόκοιο τόκον μήτρης τὸν Ἰσαάκ.

ΕΙΣ ΣΟ-

SISMANOGLIO MEGARO



ΕΙΣ ΣΟΔΟΜΙΤΑΣ ΖΗΤΟΥΝΤΑΣ ΤΟΥΣ ΑΓΓΕΛΟΥΣ ΤΟΥΣ εἰσελθόντας πρὸς Λῶτ ἐπὶ συνουσίαν.

Ἔθνος μιαρὸν, ἔθνος ἀρρενοφθόρον, Νῦν ϗ κατ' αὐτῶν ἐξεμάνης ἀγγέλων;
Θάρρει, πρὶν ἢ γὰρ ἀγγελοφθόρον γένῃ, Πυρὶ φθαρήσῃ, ϗ κακὸν κακῶς θάνῃς.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀνέρες αὐθάδεες, τί κακὰ φρεσὶ μητιάασθε;
Τοὺς δ' ἀνέρας καλέοντες θηλυτερῶν ποτὶ κοῖτον;
Δοιά μοι ἔνδον ἔασιν ἐπ' ἀνδράσιν ἄζυγα τέκνα,
Τοῖσδ' ἐποαρίζοιτε, νόθην δ' ἀπόθοισθ' ὀαριστύν.

ΕΙΣ ΤΟΝ ΕΜΠΡΗΣΜΟΝ ΣΟΔΟΜΩΝ.

Ἔκφευγε Λῶτ, ἔκφευγε τὴν γῆν Σωδόμων,
Μὴ τοῖς πονηροῖς συμφλεγῇς ϗ συνθάνῃς,
Σηγὼρ ὄρει πρόβαινε, ϗ σῷζου μόνος, Μηδὲ στραφῇς ὄπισθε, μὴ παγῇς λίθος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὑετὸς αἰθαλόεις πυροειδέων ἐκ νεφελάων
Αἰθερόθεν προσέπεσσε, ϗ ἄφρονα φλέξε Γομόῤῥην,
Ἐκ δέ τε γῆν Σοδόμων κακοεργέα, Λῶτ φύγεν οἶος,
Οἶος ὃ γὰρ δίκαιος ἀνὰ πτόλιν ἔπλετ' ἀλιτρήν.

ΕΙΣ ΛΩΤ ΜΕΘΥΣΑΝΤΑ, ΚΑΙ ΜΙΓΕΝΤΑ ταῖς θυγατράσι.

Τί δ' οὐκ ἂν ἐχρήσατο ταῖς ἀλλοτρίαις, Ὁ ταῖς ἑαυτοῦ συμφθαρεὶς θυγατράσιν;
Ὀρθῶς λέγεις, πλὴν ἀγνοεῖς τὴν αἰτίαν, Οἴνου γὰρ, οὐ Λῶτ ἐστὶν ἡ παροινία.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πάππον ὁμοῦ ϗ φύντην τίς ποτ' ἔειδε τὸν αὐτὸν,
Θυγατέρ', ἠδέ τ' ἄκοιτιν, ἀδελφεὸν, ἠδέ τε παῖδα;
Νῦν ἄγε, Λῶτ, ἰδέτω, θυγατράσιν ᾗσι μιγέντος,
Οἶνε κακῶν ἀρχηγὲ, μέθης πάτερ ἔῤῥ' ἀπ' ἐμεῖο.

ΕΙΣ ΤΟ ΠΕΙΡΑΤΗΡΙΟΝ ΑΒΡΑΑΜ, ΟΤΕ ΤΟΝ ΥΙΟΝ θυσιάζειν ἐκελεύσθη ὑπὸ Θεοῦ.

Δυεῖν ἀγάπαιν Ἀβραὰμ σχεθεὶς μέσον,
Τῆς μὲν φυσικῆς, τῆς δ' ὑπὲρ πᾶσαν φύσιν,

Τῆς φυ-

Γῆς φυσικῆς πρῦθηκε τὴν ὑπὲρ φύσιν,   Ὁρᾷς τὸν υἱὸν, τὴν μάχαιραν, τὰ ξύλα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνσρεφε τήνδε μάχαιραν Ἄβραμ γέρον, οὐ γὰρ ἔοικε
Παιδοφόνῳ παλάμῃ Θεὸν ἱλάσκεσθαι ἄνακτα.
Ἀμνὸς ὅδ᾽ ἄγχι πάρεσι φυτῷ Σαβὲκ ἀμφιπεδηθεὶς,
Τόνδε λαβὼν κατάθυσον, ἀτὰρ φίλου υἱοῦ ἀπόσχου.

ΕΙΣ ΤΗΝ ΝΥΜΦΕΥΣΙΝ ΡΕΒΕΚΚΑΣ Η ΕΝΥΜΦΕΥΘΗ, τῷ Ἰσαὰκ ὑπὸ τοῦ δούλου Ἀβραάμ.

Δός μοι πιεῖν δέσποινα διψῶντι ξένῳ,   Καὶ ταῖς καμήλοις ἐκχεῶ τὴν ὑδρίαν.
✲Χαίροις, ἐγὼ δὲ νυμφαγωγήσαιμί σε   Τῷ Κυρίῳ μου, ταῦτα δ᾽ εἰς ἕδνον δέχου.

✲ ἐν ἄλλ. Χέοις

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ξεῖνε. τίς οὗτος ἀνὴρ ἀμφ᾽ ἡμέας ἰθὺ βαδίζει;
Ὄμμα δέ οἱ γοργὸν, τὰς δ᾽ ὄσσεται ἄντα καμήλους.
Οὗτος ἐκεῖνος ἄνασσα τεὸς πόσις. οὗτος, ἐκεῖνος;
Εἶμι καλυψαμένη δ᾽ αἰδώς μ᾽ ἔχει εἰσορόωσαν.

ΣΙΣ ΤΗΝ ΠΛΑΝΗΝ ΙΣΑΑΚ, ΗΝ ΕΠΛΑΝΗΘΗ ἐπὶ τῇ εὐλογίᾳ τῶν υἱῶν

Ὡς δυστυχὴς ἡ θήρα τῆς κυνηγίας,   Ὡς εὐτυχὴς ἡ θήρα τῆς ἀπλασίας,
Δι᾽ ἣν τὸν Ἡσαῦ Ἰακὼβ προλαμβάνων,   Τὴν εὐλογίαν Ἰσαὰκ προλαμβάνει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀμβλυτέρῃσι κόρῃσι κλαπεὶς ἐνὶ γήραος οὐδῷ
Ἰσαὰκ, εὐλογίην τέκνῳ πόρε λοισθογενέθλῳ.
Πρωτότοκος δ᾽ ἀφάμαρτε, βαρὺς δέ μιν ἵκετο θυμὸς
Ὡς γὰρ ταῦτα τέλεσσε Θεὸς περίφρων τε Ῥεβέκκα.

ΕΙΣ ΗΝ ΕΙΔΕ ΚΛΙΜΑΚΑ Ο ΙΑΚΩΒ.

Τίς ἡ κλίμαξ σὺ, ϗ τίς ἐσήριξέ σε;   Πόσοις δὲ βαθμοῖς ϗ πόσου μέχρι φθάνεις;
Τίνες δ᾽ ἄνεισι, ϗ τίνες κάτεισί σε;   Τὸ Μωσαϊκὸν ταῦτ᾽ ἐρώτα βιβλίον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κλίμακα αἰθερίην ποτὲ δέρκετο δῖος Ἰακὼβ,
Ἧς Θεὸς ἀμφὶ κόρυμβα καθίζετο, ϗ νόες αὐτὴν
Οἱ μὲν ἀνατροχόωντο, κατατροχόωντο δέ τ᾽ ἄλλοι,

Ἆρα



Ἆρα μετεσσομένης τάδε σύμβολα οἰκονομίης.

ΕΙΣ ΤΗΝ ΜΙΣΘΑΡΝΙΑΝ ΙΑΚΩΒ. ΗΝ ΥΠΟΥΡΓΗΣΕ ΤΩ λάβαν, διὰ τὰς δύο αὐτοῦ θυγατέρας.

Ποιμὴν ἀδελφὲ, σὸν τὸ ποίμνιον τόδε;
Ἄλλου τὸ χρῆμα. χρῆμα; τίς δ᾽ οὗτος; Λάβαν.
Νέμεις δὲ μισθοῦ; ναὶ. τίνος; κορῶν δύο   Ζηλῶ σε ποιμὴν τῆσδε τῆς μισθαρνίας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χείματι κρυσαλέοντι, θέρευς δέ τε καύματι λαύρῳ.
Τῷ μὲν πήσσευ, Ἰακὼβ, τῷ δὲ θέρευ, ἀνὰ ποίμνην,
Σπεῦδε δυοῖν καμάτοισιν, ἔχεις δύο κρέσσον᾽ ἄποινα,
Λείαν, ϗ Ῥαχὴλ παῖδας λάβαν, εἶδος ἀρίσας.

ΕΙΣ ΣΥΧΕΜ ΤΟΝ ΜΙΓΕΝΤΑ ΔΙΝΗ ΤΗ ΘΥΓΑΤΡΙ ΙΑΚΩΒ, ϗ τοῖς ἀδελφοῖς αὐτῆς ἀποκτανέντα.

Ἔφθειρε Συχὲμ ἀλλόφυλος τὴν Δίναν   Καὶ τοῖς ἀδελφοῖς τῆς φθαρείσης ἐ(φθάρη.
Ἄλλην φθορὰν ἔφθειρεν, ἄλλην ἐφθάρη.
Ἔφθειρε μιγεὶς, ϗ φονευθεὶς, ἐφθάρη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κουριδίης λεχέων Δίνης ἐπεβήσατο Συχὲμ
Κάμμορος, οὐδ᾽ ἐνόησεν ὅ οἱ κακὸν ἔρχεται ἄλλο.
Οὐδ᾽ ὅτι μιν κτονέουσιν ἀδελφεοὶ, αἴσχεϊ κούρης
Θυμὸν ἀεξήσαντες, ἀτὰρ γάμου οἶτον ὄνατο.

ΕΙΣ ΤΟ ΕΝΥΠΝΙΟΝ ΙΩΣΗΦ.

Τί δρᾷς Ἰωσὴφ, τοὺς ὀνείρους σου λέγεις;   Οὐ τῶν ἀδεφῶν, εὐλαβηθεὶς τὸν φθόνον,
Μήπου μανέντες οὐ καλῶς δράσωσί σε;   Θεῷ πέποιθα, ϗ πεποιθότως λέγω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Φάσμασιν ἐννυχίοισι προείδετο δῖος Ἰωσὴφ,
Ἅσσα μετεσσομένοισιν ἐν ἤμασιν ἔλλαβε τέρμα.
Ἕνδεκα δράγματ᾽ ἔσαν κυνέοντα δράγμα Ἰωσήφ.
Κεῖνον ὄφρ᾽ ἕνδεκ᾽, ἴδῃς κασιγνήτους εἶναι κυνεῦντας.

ΕΙΣ ΤΗΝ ΠΡΑΣΙΝ ΙΩΣΗΦ.

Ἀδελφότης ἄσπλαγχνος, ἀγρία φύσις,   Ῥίπτεις Ἰωσὴφ εἰς τὸ τοῦ λάκκου σόμα,

Ἔσω



SISMANOGLIO MEGARO

Ἔσω τὸ συγγενὲς μὲν οὐκ ἔθελξέ σε, Κἂν γοῦν τὸ κάλλος οὐκ ἐμαλθάκισέ σε.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αὐτοκασιγνήτοισι βόθρῳ ἐνεβάλλετ' Ἰωσήφ,
Ἐκ δ' ἄγετ' αὖ τε βόθροιο, Ἄγαρ δέ μιν ἔλλαβον υἷες,
Αἰγύπτῳ δ' ἀπέδοντο, πατρὸς δ' ἀπάμερσαν ἑοῖο.
Αὐτὰρ ὁ πένθος ἄλαστον ἐνὶ φρεσὶν ἵκετο τοῦδε.

ΕΙΣ ΙΟΥΔΑΝ ΜΙΓΝΥΜΕΝΟΝ ΘΑΜΑΡ ΤΗ ΝΥΜΦΗ αὐτοῦ ἐξ ἧς ἐγέννησε Φαρὲς καὶ Ζαρά.

Τί δρᾷς Ἰούδα συγγενοῦς ψαύεις λέχους; Καὶ γίνεταί σοι δάμαρ ἡ νύμφη Θάμαρ;
Ἢ καὶ τὸν υἱὸν οὐ παρεῖχες τὸν τρίτον. Ἡ πορνικὴ πρόσπλασις ἠπάτησέ με.

ΕΙΣ ΤΟ ΑΥΤΟ

Ἡ Θάμαρ ἀμφιθέτοισι κατὰ χρόα βάψατο κόσμοις,
Ἧστο δ' ἐνὶ τριόδῳ, καὶ Ἰούδας ἄντα βαδίζων,
Ὡς ἴδεν, ὡς ἐμάνη, ἀνὰ δὲ ξυνὰ δέμνια κλίνθη.
Ἡ δ', ὑποκυσσαμένη, διδυμωτόκος ἔγρετ' ἐκεῖθεν.

ΕΙΣ ΤΟΝ ΕΡΩΤΑ ΤΗΣ ΑΙΓΥΠΤΙΑΣ, ΟΝ ἠράσθη τοῦ Ἰωσήφ.

Σὺ γὰρ μέμηνας, οὐκ ἐρᾷς αἰγυπτία, Οὐ γὰρ ἂν ἔτλης φυλακίζειν τὸν φίλον
Ἢ προσδοκᾷς ἐντεῦθεν αὐτὸν ἑλκύσαι; Οὐχ ἑλκύσεις, γίνωσκε, κἂν χεῖρω δράσῃς.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σώφρονα κοῦρον ἄνασσα βιάσκετο, σὺν δ' ἀνὰ κοίτην
Βήμεναι ἐν φιλότητι, ὁ δ' οὐ θέλεν, ἡ δὲ χιτῶνος
Δραξαμένη ἕλκεσκεν, ἔρως δέ οἱ ἔφλεγε γυῖα·
Λοῖσθον, ὅ μιν βιήσατο ἀφεὶς δ' ἀπόρουσε χιτῶνα.

ΕΙΣ ΤΗΝ ΣΙΤΟΔΟΣΙΑΝ ΙΩΣΗΦ.

Ὡς μακαρίζω τῶν ὀνείρων τὰς κρίσεις, Ἂν ἐκ πενήτων, καὶ πεφυλακισμένων
Δύναιντο ποιεῖν τοὺς κριτὰς ἐλευθέρους, Καὶ κυριάρχας γῆς ὅλης Αἰγυπτίων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σιτοδότης Αἰγύπτου ὁ δέσμιος ἔπλετ' Ἰωσήφ,
Οἷ δὲ ὁ δοῦλον ἔδοντο ἀδελφεοί, ἠΰτε δοῦλοι
Ἄρτι κύνευσ' ὅδ' ἄγρια ποτὶ φρεσί, μήχεα ῥάπτει.

Αὐτο-

SISMANOGLIO



Αὐτοκασιγνήτοιο Βενιαμὶν ἔξοχ' ἐράων.

ΕΙΣ ΙΩΣΗΦ ΔΑΚΡΥΟΝΤΑ ΕΠΙ ΤΩ ΑΝΑΓΝΩΡΙΣΜΩ τῶν ἀδελφῶν αὐτοῦ.

Φιλόξενον δάκρυον, Ἰωσήφ, χέεις; Οὐχ ἀλλὰ φιλάδελφον ἐκχέω δάκρυ.
Ἢ γάρ, Ἰωσήφ οἱ παρόντες οὐ ξένοι; Οὐχ ἀλλ' ἀδελφοὶ γνησίως οὓς δακρύεις

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Συγγενὲς αἷμ' ἀπέδοντο ὁμαίμονες ἀλλοδαποῖσι,
Συγγενὲς αἷμ' ἀπέδοντο, γένη σφίσι δ' οὔ τι μεμήλοι,
Ἀλλοδαπὴ δ' ἐσάωσε νόθη νόθον ἀνέρα γαῖα,
Αὐτὰρ ὁ τοῖς προδότῃσι τέρεν ἐπὶ δάκρυον εἶβε.

ΕΙΣ ΙΑΚΩΒ ΕΡΧΟΜΕΝΟΝ ΕΝ ΑΙΓΥΠΤΩ, ΚΑΙ ΘΡΗΝΟΥΝΤΑ ἐπὶ τῷ ἀναγνωρισμῷ Ἰωσήφ.

Ἐδάκρυες χθές, Ἰακώβ, τὸν υἱὲα Δοκῶν θανεῖν, ἔνδικον ἦν τὸ δακρύειν.
Νῦν ζῇ τί λοιπὸν δακρύεις, γελᾶν δέον; Τὸ τῆς χαρᾶς δάκρυον ἄρτι δακρύω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δεῦρο φίλη κεφαλή, πατρὸς αὐχένι ἀμφιπεσοῦσα,
Δὸς καὶ ἐμῷ καρήατ' ἐπ' αὐχένι σῷ τάδε ῥέξειν.
Δεῦρο πάτερ, ποτὶ δῶ, καὶ ἄμπεσον, οὐδ' ἔτι σε χρὴ
δάκρυ καταιβέμεν, ὡς τοι ἐγὼ ζωοῖσι μέτειμι.

ΕΙΣ ΙΑΚΩΒ ΕΥΛΟΓΟΥΝΤΑ ΤΟΥΣ ΔΥΟ ΥΙΟΥΣ ΙΩΣΗΦ, τῇ ἐναλλὰξ τῶν χειρῶν αὐτοῦ θέσει πρὸς αὐτούς.

Οὕτως Ἰακὼβ εὐλογεῖς τοὺς ἐγγόνους, Δεικνὺς τὸν Ἐφραὶμ τοῦ Μανασσῆ βελτίω;
Ὡς ηὐλογήθης Ἰσαὰκ τῷ πατρί σου, Τὸν πρῶτον αὐτάδελφον Ἡσαῦ πτερνίσας

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐφραίμ, καὶ Μανασῆς δύο ἤστην παῖδε Ἰωσήφ,
Λοῖσθος Ἐφραίμ, Μανασῆς δὲ πρωτότοκος· μετὰ δέ σφιν
Χεῖρες ἔσαν πάπποιο ἐπ' ἀδελφῇσι κάρῃσι,
Δεξιτερὴν δ' ἄρ' Ἐφραὶμ λάχ', ὁ γὰρ τύπος ἔπλετο πιστῶν·

ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΙΑΚΩΒ, ΚΑΙ ΤΟΝ ΑΝΑΚΟΜΙΣΜΟΝ τοῦ σώματος αὐτοῦ πρὸς τὴν Χαναάν.

Θνήσκεις, Ἰακώβ, ἐν τόποις αἰγυπτίων, Ἀλλ' ἡ Χαναὰν αὖθις ἀπείληφέ σε

Ὁ γὰρ

Ὁ γὰρ Ἰωσὴφ τερματιῶν σου λόγον, Συνενταφιάζει σε τοῖς σοῖς πατράσιν

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ᾽ ὁ κλαυθμὸς ἄνωθεν ἐπ᾽ ἠέρα ὄρνυτ᾽ ἀεικής;
Τὸν δὲ νέκυν κλαίουσι περιστάδὸν υἱέες ἐσθλοί.
Τίς δ᾽ ὁ νέκυς; Ἰακὼβ. ποῖ δ᾽, ἢ πόθεν ἴσταθ᾽ ὁδεύειν;
Αἴγυπτον προλιπὼν, Χαναναῖτιν γαῖαν ἱκάνει.

# ΕΞΟΔΟΣ.

ΕΙΣ ΤΗΝ ΕΝ ΤΩ ΠΗΛΩ, ΚΑΙ ΤΗ ΠΛΙΝΘΕΙΑ ταλαιπωρίαν τῶν Ἑβραίων.

Τῷ χθὲς Φαραὼ τῷ Φιλισραηλίτῃ, Ὁ νῦν Φαραὼ τὴν ἐναντίαν τρέχει.
Ὁ μὲν τὸ πᾶν σέσωκεν Ἑβραίων γένος· Ὁ δ᾽ αὐτὸ μᾶλλον ἐξολοθρεύειν θέλει

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐργοπόνοι παλάμαι Ἰουδαίων πολυμόχθων,
Νῦν μὲν ἐνὶ πλίνθοις, καὶ ἐνὶ πηλοῖσι πονεῖσθε,
Ὕστερον αὖ τ᾽ ὀλίγον μετὰ κύμβαλα παίξετε νίκης,
Ὅττ᾽ Ἐρυθρὰν περόωντες ἀτάσθαλον ἄγχετ᾽ Ἄνακτα.

ΕΙΣ ΤΟ ΠΡΟΣΤΑΓΜΑ ΦΑΡΑΩ ΤΟ ΚΕΛΕΥΟΝ ΤΑΙΣ ΜΑΙΑΙΣ, τεχθέντων πρῶτα Ἑβραίων, φονεύειν μὲν τὰ ἄῤῥενα, ζωογονεῖν δὲ τὰ θηλυκά.

Θεὸς τὸν Ἄβραμ εὐλογεῖ καὶ πληθύνει Σὺ δ᾽ ὦ Φαραὼ κτιννύεις, καὶ σμικρύνεις.
Ταῖς ὀμφαλητόμοις δὲ τιθήναις λέγεις, Πᾶν ἀρσενικὸν θανατοῦν κακῶς λέγεις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παιδοφόνους Φαραὼ Μωσῆς χέρας ἔκφυγεν οἶος,
οἷος ἀπὸ βρεφέων· ἦ μὴν τύπος ἔπλετο Χριστοῦ,
Ὃς παλάμην προφύγῃσι βρεφολεθροῖο ἄνακτος,
Ἡνίκα σὺν βρεφέεσσι παλαίτατος ἐν χθονὶ βαίνοι.





ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΜΩΣΕΩΣ, ΚΑΙ ΟΠΩΣ ΡΙΦΕΝΤΑ αὐτὸν ἐν τῷ ποταμῷ μετὰ θίβης εἶδεν ἡ θυγάτηρ Φαραὼ, καὶ περιεποιήσατο.

Ὁρᾷς ἐκεῖνο; τὴν θίβην; καὶ τὴν θίβην,
Ὁρῶ, τὰ δ᾽ ἔνδον οὐχ ὁρῶ. κρύπτει βρέφος,
Ὃ ναυαγεῖ μὲν ἄρτι τὴν σωτηρίαν, Μικρὸν δ᾽ ὅσον θάλασσαν ἐν ῥάβδῳ σχίσει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δεῦρο φάτε, πρόπολοι, τί τὸ δ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι;
Πλαζομένην ῥεέθροισι θίβην λάζεσθέ ε ἄβραι,
Λαζόμεθ᾽. ἔν γε ἀθρεῖτ᾽ ἄφωνος ἐά οἱ ἔλπομεν εἶναι.
Νηπίαχος τὸ δ᾽, ἄνασσα. ἀτὰρ γέ μοι υἱὸς ἔσειται.

ΕΙΣ ΜΩΣΗΝ ΚΤΕΙΝΑΝΤΑ ΤΟΝ ΑΙΓΥΠΤΙΟΝ, καὶ ἐν τῇ ἄμμῳ κρύπτοντα.

Μωσῆς Ἀβραὰμ σπέρμα, πλὴν οὐκ ἐκ λίθων,
Ἀλλ᾽ ἐκ ποταμῶν, καὶ κραταιὸς ὡς λίθος.
Θέλεις ἰδέσθαι τὸ κράτος τοῦ Μωσέως; Βλέψον τὸν αἰγύπτιον ἐν τῇ ψαμμάθῳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνδρε δύο μάρνασθον, ὁ μὲν γόνος ἔπλετ᾽ Ἰακὼβ,
Τὸν δ᾽ Αἴγυπτος ἔφυσε, κορύσσετο δ᾽ ἄγριος Ἄρης.
Τοὺς δ᾽ ὡς οὖν ἐνόησεν ἀγακλυτὸς αὐτίκα Μωσῆς,
Λευγῇ ὑπὸ ψαμάθῳ τὸν ἐναντίον ἔνθετο κακτάς.

ΕΙΣ ΤΗΝ ΟΦΘΕΙΣΑΝ ΕΝ ΣΙΝΑ ΒΑΤΟΝ.

Πῦρ ἐν βάτῳ, καὶ, θαῦμα, ταύτην οὐ φλέγει·
Οὐ πῦρ τὸ πῦρ; οὐ βάτος ἐστὶν ἡ βάτος;
Καὶ πῦρ τὸ πῦρ, καὶ βάτος ἐστὶν ἡ βάτος, Ἀλλ᾽ εἰκονίζει τὸν τόκον τῆς παρθένου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Εἴ σε ἔρως φλεγέθῃσι Θεοῦ ὅπας ὦσι βαλέσθαι
Πᾶν πάθος ὡς αἰγύπτιον ἀνδρ᾽ ἀάριζον ἀλιτρὸν,
Ἀμπλακίης θ᾽ ὑπόεικε νοητῆς Αἰγύπτοιο,
Καὶ τότε παμμεδέοντα θεήσεαι ἐνδ᾽ ὄπ᾽ ἀκούσεις.

ΕΙΣ ΜΩΣΗΝ ΑΠΟΣΤΕΛΛΟΜΕΝΟΝ ΠΡΟΣ ΦΑΡΑΩ, ΚΑΙ ὑποςελλόμενον διὰ τὸ βραδύγλωσσον.

Τί ταῦτα, Μωσῆ, τὸ βραδύγλωσσον τρέμεις;
Καὶ τοῦ Θεοῦ καλοῦντος οὐκ εὐθὺς τρέχεις;
Ἔχεις Ἀαρὼν ἀντὶ σȣ̃ λαλεν ςόμα, Τȣ́τῳ λάλει, κἀκεῖνος εἴπῃ τοῖς ὄχλοις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μωϋσέως βραδύφωνον ἔφυ ςόμα, ἀλλὰ ἔμπης
Κραιπνὴ ἀαρωνῖτις ἀδελφικὴ ἤντετο γῆρυς·
Αὐτὰρ, ἐγὼ βραδυφωνος, ἀδελφειὸς ἐδ᾽ μοι ἐγγὺς,
Χριςὲ ἄνα κλυτοτέχνη, σύ μοι ςόμα κραιπνὸν ὀπάσσαις.

ΕΙΣ ΤΗΝ ΕΙΣ ΟΦΙΝ ΜΕΤΑΒΟΛΗΝ ΤΗΣ ΡΑΒΔΟΥ ΜΩΣΕ-ως, ἣ ϗ τὰς τῶν μιαρῶν ῥάβδους, ὄφεις καὶ ταύτας γινομένας, κατέφαγεν.

Ὁρᾷς τὸν ἑρπύσαντα δράκοντα ξένε; Καὶ τȣ̀ς συνερπύσαντας ἠφανικότα;
Ὅς μέχρι νῦν πέφυκε ῥάβδος Μωσέως, Οἱ δὲ φθαρέντες τῶν κατ᾽ Αἴγυπτον μάγων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐξ ὄφιων ὄφιας φυσικῶς φῦναι ἔπλετ᾽ ἀνάγκη,
Ἠΰτ᾽ ἀπ᾽ ἰχθυόφιν ἰχθῦν, ϗ ἀπ᾽ ἀνδρόφιν ἄνδρα.
Ῥάβδοφι δ᾽ ἐκγεγάμεν τίς ὄφιν ποτ᾽ ἄκȣσ᾽ ἀνθρωπων;
Μωϋσέως τόδε ἔργον, ὅ οἱ Θεὸς ὤπασ᾽ ἀφ᾽ ὕψȣς.

ΕΙΣ ΤΗΝ ΕΙΣ ΑΙΜΑ ΜΕΤΑΒΟΛΗΝ ΤΟΥ ΝΕΙΛΩ, ΟΥ ΥΔΑΤΟΣ

Πȣ̃ Νεῖλε τῶν σῶν ναμάτων ἡ λευκότης, Ὃς νῦν τὸ ῥεῖθρον αἱματῶδες προῤῥέεις;
Τὴν ῥάβδον ἴσως ἐντραπεὶς τȣ̃ Μωσέως, ἐρυθριάσας ἐξαμείβεις τὴν θέαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σύμπαν μὲν σιτίοισι φύει, ϗ ἀ ξεται αἷμα,
Δεξαμενὴν δ᾽ εὔροιτο πολυσχεδέα τὰς φλέβας αὐτὰς,
Αἷμα δέ τὸ, ζαθέη Μωσῆ σχεδιάσσατο ῥάβδος,
Δεξαμενὴ δέ οἱ ȣ̓ φλέβες, ἀλλ᾽ ὅλος ἔπλετο νεῖλος.

ΕΙΣ ΤΗΝ ΕΚ ΤΟΥ ΥΔΑΤΟΣ ΑΝΑΔΟΣΙΝ ΤΩΝ ΒΑΤΡΑΧΩΝ.

Ἄμετρος ὄντως ἡ χάρις τȣ̃ Μωσέως. Οὐ θαυματȣργεῖ ϗ μόνη ῥάβδος τόσα
Ὁρᾷς ἐκείνȣς τȣ̀ς ἀπείρȣς βατράχȣς; Ἡ ῥάβδος αὐτȣ̀ς αὐτοματίζει μόνη.





ΕΙΣ ΤΟ ΑΥΤΟ.

Βάτραχοι ἐκ ποταμοῖο ἀολλέες ἦλθον ἔραζε,
Μωσαϊκῆς ῥάβδοιο πεπληγυίας κατὰ ῥεῖθρα.
Ἂν δ᾽ ἔβαν ἔς τε δόμȣς Φαραὼ, κλιβάνȣς τε, κλίνας τε,
Οὕνεκεν ἑβραίην ὀλοῶς κατεέργαθε φύτλην.

ΕΙΣ ΤΗΝ ΕΚ ΤΗΣ ΓΗΣ ΤΟΥ ΣΚΝΙΠΟΣ ΑΝΑΔΟΣΙΝ.

Δέξαι Φαραὼ τὸν σκνίπα, πληγὴν τρίτην, Πρὸς ἣν ἀπηγόρευκε ϗ σύμπας μάγος,
Καὶ σωφρονίζȣ, ϗ τὸν Ἰσραὴλ λύε, Μὴ πεῖραν ἕξῃς μαςίγων βαρυτέρων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀ δ᾽ ἐγὼ ἁ Μωσῆος ἰδȣ̀ πάλιν ἤλυθα ῥάβδος,
Χῶμα δὲ πεπληγυῖα, πολὺν σκνίπα ἔνθεν ἀγείρω,
Δεῦρο μάγοι πρόσιθ᾽, ὑμετέρην ἐπιδείξατε ἀλκὴν,
Εἴ τις ὑμῶν προβάλοιτο τόσον σκνίπα τῆςδ᾽ ἀπὸ γαίης,

ΕΙΣ ΤΗΝ ΤΗΣ ΚΥΝΟΜΥΙΑΣ ΑΝΑΔΟΣΙΝ.

Ἀσωφρόνιςος ταῖς τρισὶ πληγαῖς μένων, Σκληροτράχηλε γῆς ἄναξ αἰγυπτίων.
Δέξαι τετάρτην· ἀλλ᾽ ἐρωτᾷς, τὴν τίνα; τὴν κυνόμυιαν· τȣ̃ δὲ λοιπȣ̃ σωφρόνει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γαῖα Γεσὲμ γήθησαι, ἀπ᾽ Αἰγύπτοιο γὰρ οἴη
Ἐκπρόφυγες κακότητας ἀπειρεσίης κυνομυίας.
Τȣ́νεκα γάρ σ᾽ ἐσάωσε Θεὸς μέγας, ἄχθος ἀπȣ̃ρας,
Οὕνεκα σ᾽ ἑβραΐη κλῆρον λάχε πότνια φύτλη.

ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΠΑΝΤΟΣ ΠΡΩΤΟΤΟΚΟΥ ΚΤΗΝΟΥΣ.

Καὶ τραῦμα πέμπτον, τὴν θανὴν τῶν ἀλόγων, Αἴγυπτε καρτέρησον ἀφρονεςάτη,
Λυσαμένη δὲ, πέμπε τȣ̀ς ἐλευθέρȣς, Θεὸς κελεύει, ϗ τις ἀνταροι χεῖρα;

ΕΙΣ ΤΟ ΑΥΤΟ

Ἵπποις τε προβάτοις τε, βόεσσί τε, καί τε καμήλοις,
Κτήνεσί τ᾽ Αἰγύπτοιο πρὸ, πάντεσιν οἶτος ὄρωρτο,
Κτήνεα μȣ̃να φύγεσκε λυγρὸν μόρον οἴκȣ Ἰακὼβ.
Οὐ δ᾽ ἄρα ταῦτα μάλαξε τὸ Φαραὼ ἄγριον ἦτορ.

ΕΙΣ ΤΗΝ ΦΛΥΚΤΙΔΑ, ΚΑΙ ΤΑ ΕΛΚΗ.

Ἕκτην βάσανον, τὰς παρȣ́σας φλυκτίδας. Καὶ τὴν ἀναζέσαν ἕλκωσιν δέχȣ,



SISMANOGLIO MEGARO

Ψυχὴ Φαραωνῖτις ἐσκληρυμμένη, Καὶ μέχρι τοῦτο ἔστηθι τῆς πονηρίας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἕλκεα, καὶ ζέσσαι φλυκτίδες ἕκτη ἀνάγκη
Ἔμπεσέ σοι, Αἴγυπτε, σύ δ' ἑβδομάτην κακότητα,
Ἠδὲ καὶ ὀγδοάτην ἔτι ἔλπεο, ἠδ' ἐνεάτην
Τὴν δὲ Θεὸς δεκάτην ἀπαλάλκοι μάστιγα σεῖο.

ΕΙΣ ΤΗΝ ΑΠ' ΟΥΡΑΝΟΥ ΚΑΤΕΝΕΧΘΕΙΣΑΝ ΧΑΛΑΖΑΝ, καὶ τὸ πῦρ, καὶ τὰς φωνάς.

Χάλαζα καὶ πῦρ, καὶ βοὴ τερασία, Γνώρισμα πληγῆς ἑβδόμης αἰγυπτίων,
Ἀλλ' οὐδὲ ταῦτα τὴν Φαραὼ καρδίαν Σθένει μαλάξαι, καίπερ ὄντα τοιάδε.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πῦρ ἅμα καί τε χάλαζα δι' αἰθέρος εἰς χθόνα βῆτην,
Οὔ τε δὲ τὴν, διέλυσε πυρὸς μένος αἰπὺ, χάλαζα,
Οὔ τε τὸ πῦρ ἠδ' ἔσβεσεν, ὑγροτάτη περ ἐοῦσα,
Πάντων γὰρ κρατέησι Θεὸς, καὶ πάντα μετάγει.

ΕΙΣ ΤΗΝ ΑΚΡΙΔΑ.

Πέπονθας ἃς πέπονθας ἑπτὰ βασάνους, Σκληροτράχηλε γῆς ἄναξ αἰγυπτίων,
Δέξαι πρὸς αὐταῖς ὀγδόην, τὴν ἀκρίδα, Τὴν ἐνάτην δὲ, καὶ δεκάτην προσδόκα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀκρίδα θεσπεσίην δεινὸν νέφος οὐρανόθεν πρὸ
Ἧσε Θεὸς, Φαραὼ δὲ περὶ φρένας ἄγνυτο ἄναξ,
Μωϋσέως γόνων δ', ἐπιλάζετο, ἀκρίδ' ὀλέσσαι.
Αὐτὰρ ὅ οἱ κατάχευε, καὶ ἀκρίδι φύξιν ἔνωσεν.

ΕΙΣ ΤΟ ΨΗΛΑΦΗΤΟΝ ΣΚΟΤΟΣ.

Φεῦ σοι, Φαραὼ, τοῦ σκότους τῆς καρδίας, Οὐδ' αὐτὸ τοῦτο τὸ τριέσπερον σκότος
Τὸ ψηλαφητὸν ἐξεδυσώπησέ σε. Ἀλλ' ἔστι τι σκλήρυνσις, ἣ πρὶν, ἐστί σοι.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποτ' ἐγὼ; ὅ δ' ἐγὼ, ποῖ στείχωμι; οὔ τί πω οἶδα.
Ὤ μοι ἐγὼ, κατέαγα τὸ κρανίον, ἐκ δὲ θυράων
Τίς με λαβὼν ἀγάγῃσι; χέρες προοδεύετ' ἀταρπόν.
Μωσῆς τὴν δὲ κέδασσε μακρὴν, καὶ ἀπείρονα νύκτα.

ΕΙΣ ΤΟΝ



ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΤΩΝ ΠΡΩΤΟΤΟΚΩΝ.

Καὶ τὴν δεκάτην βάσανον μαθεῖν θέλεις; Τῶν πρωτοτόκων τὴν ὀλόθρευσιν μάθε.
Τί φῄς; ἅλις σοι Φαραὼ τῶν μαστίγων, Ἢ γοῦν δεήσει μαστιγοῦσθαι καὶ πλέον;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Αἰγύπτου πᾶν πρωτότοκον θάνε, κλαῖε δὲ λαός.
Αἷμα δ' ἐνὶ σταθμοῖσι γεγραμμένον, ἠὲ θύρῃσιν,
Ἑβραίων, ἐπάλαλκε λυγρὸν μόρον, οὐδ' ὀλολυγὴ
Χείλεος ἑβραίοιο προέσσυτο, χαῖρε δὲ λαός.

ΕΙΣ ΤΗΝ ΔΙΑΙΡΕΣΙΝ ΤΗΣ ΕΡΥΘΡΑΣ ΘΑΛΑΣΣΗΣ.

Καὶ τ' ἄλλα μὲν σοῦ ῥάβδε φρικτὰ, καὶ ξένα. Τὸ δὲ σχίσαι θάλασσαν εἰς μέρη δύο,
Ξηρὰν δὲ δεῖξαι τὴν τέως ὑγρὰν φύσιν, Ἁπαξαπλῶς ἅπαντα νικᾷ τὰ ξένα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χέρσον ἀβυσσοτόκον πέδον Ἥλιος ἀμφεπόλευσεν,
Ὕδωρ γὰρ, ἑκάτερθε πεπηγμένον, ἠΰτε τεῖχος
Μίμνει, πεζοπόρος δὲ λεὼς ἀνὰ πόντον ὁδεύει,
Ἆσμα δὲ παμμεδέοντι Θεῷ ἐπινίκιον ᾄδει.

ΕΙΣ ΤΟΝ ΔΙΑ ΞΥΛΟΥ ΓΛΥΚΑΣΜΟΝ ΤΟΥ ΕΝ ΜΕΡΡΑ ΥΔΑΤΟΣ.

Πῶς λοιδορεῖς, πῶς, Ἰσραὴλ, τὸν Μωσέα;
Οὐ τὴν Ἐρυθρὰν χθὲς διῆλθες ἀβρόχως;
Ὁ γοῦν ἐκείνην χερσοποιήσας, λέγε, Οὐ γλυκανεῖ σοι καὶ τὸ τῆς μερρᾶς ὕδωρ;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἦ ῥα γλυκὺν τιν' ἔεργε τόδε ξύλον ἔνδοθι χυμὸν,
Καὶ βαφὴν πικρόχυμα μερρῆς ποτιμώσατο ῥεῖθρα;
Οὐ, ξένε, ἀλλὰ τόδε σταυροῦ ξύλον ἔπλετο τύπος,
Ὃς γλυκάνῃ κακίης μεροπείης νάματα πικρά.

ΕΙΣ ΤΟ ΜΑΝΝΑ, ΚΑΙ ΤΗΝ ΟΡΤΥΓΟΜΗΤΡΑΝ.

Καὶ τίς γένοιτ' ἂν Ἰσραὴλ σοῦ βελτίων, Ὃν ἄρτος οὐράνιος ὕψοθεν τρέφει,
Ὧ καὶ πετεινῶν ὑετίζεται νέφος; Ἀπραγμάτευτος, καὶ καλὴ πανδαισία.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄρτος ἀπ' οὐρανόθεν καινὸς πέσε τῇδ' ἐν ἐρήμῳ
Μάννα, Ἰουδαίων δ' ἀχαρίστων θρέψε γενέθλην.

Οὔτε

Οὔτε δ' ἄρ' ὃ ξυνάγειρε πλέον, πλέον ἔσχεν ἐκεῖθεν.
Οὔθ' ὃ ἔλασσον, ἔλασσον ὁμῶς δὲ πρόπας ἐκορέσθη.

ΕΙΣ ΤΗΝ ΔΙΑ ΤΗΣ ΕΚΤΑΣΕΩΣ ΤΩΝ ΧΕΙΡΩΝ Μωσέως πτῶσιν τοῦ Ἀμαλήκ.

Τί δρᾷς Ἀμαλὴκ Ἰσραηλίταις μάχῃ; Ὡς ἠγνόησας τὴν θανὴν Αἰγυπτίων;
Ὡς ἠγνόησας τὸ κράτος τοῦ Μωσέως; Ἢ γὰρ, συνειδὼς, ὁ συνεκρότεις μάχην.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὢ χέρες αἳ προτέταντο, καὶ ὤρνυτο φῦζ' ἐπ' Ἀμαλήκ.
Ὢ χέρες, αἳ προτέταντο, καὶ ἴσχυε γένατ' Ἰακώβ.
Ἂν δὲ χέρες προταθῆτε καὶ ἀντιβίοισιν ἐμοῖσιν,
Καὶ τάχ' ἂν εὖχος ἀροίμι, Σατὰν ἀπὸ χάρτος ὀλέσσας.

ΕΙΣ ΤΗΝ ΕΝ ΣΙΝΑ ΚΑΘΟΔΟΝ ΘΕΟΥ, ΚΑΙ ΤΗΝ πρὸς Μωσῆν ἐντυχίαν.

Εὐδαιμονεῖς Σίναιον ὑπὲρ πᾶν ὄρος, Θεὸς γὰρ ἐν σοὶ τὰς νόμου γράφει πλάκας
Μωσῆς δὲ ταύτας ἐξ ἐκείνου λαμβάνει. Ὄντως Θεοῦ πέφυκας ἄξιος τόπος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποτ' ἄρ' ὁ γνοφόεις καπνὸς μέλας ἐκ νεφελάων
Οὔρεος ἀμφὶ κόρυμβα μακραύχενος ἦλθε Σιναίου;
Τίς δέ τε φρικτοβόας σαλπίγγων ἔκτυπεν ἦχος;
Πρὸς Μωσῆν ὁμίλημα, τὰ δ' ἔπλετο πάντα Θεοῖο.

ΕΙΣ ΜΩΣΗΝ, ΟΣ ΠΕΡ ΕΝ ΤΩ ΧΡΟΝΙΖΕΙΝ ΑΥΤΟΝ ἐν τῷ ὄρει, τοῦ λαοῦ εἰδωλολατρήσαντος κατελθὼν ἐθυμώθη, καὶ τὰς πλάκας συνέτριψε.

Πονηρὲ λαὲ, δυσσεβέστατον γένος, Θεὸν τὸν ἐχθὲς ἀγνοεῖς σώσαντά σε.
Τὸν χθὲς τὸ θεῖον μάννα χορτάσαντά σε; Καὶ μοσχολατρεῖς; τῆς ἀβελίας (ὅση.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τεσσαράκοντα νόμοιο λαβὼν πλάκας ἤμασι Μωσῆς.
Αὐτομάτως κατέαξ' ἀσεβεῖ γὰρ χώσατο λαῷ.
Οὕνεκεν ὑψιμέδοντος ἀνηνάμενος σέβας ἁγνὸν,
Βέκρανον ἀμφεκύνησεν, ὃ τεύξατο χρυσοχοήσας.

ΕΙΣ ΤΗΝ



ΕΙΣ ΤΗΝ ΝΟΜΙΚΗΝ ΣΚΗΝΗΝ.

Ὁ πάντα πληρῶν, πανταχοῦ δὲ προφθάνων,
Νῦν τῆς νομικῆς ἐν μέσῳ σκηνῆς μένει.
Σκηνῆς γὰρ αὕτη τῆς νοουμένης τύπος: Εἰς ἣν μένει βρότειον ἐνδυθεὶς πάχος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χαλκός τε, χρυσός τε, καὶ ἄργυρος, ἠδ' ὑάκινθος,
Πορφύρα τ', ἠδὲ κριῶν καλὰ νάκεα, δῖά τε βύσσον,
Ξύλα τ' ἄσηπτα, λίθοι τ' ἀπὸ σαρδόφι, καὶ τρίχες αἰγῶν,
Σκηνὴν ταῦτ' ἐποίησε θεηδόχον εὖ ἀραρυῖαν.

ΕΙΣ ΤΗΝ ΔΟΞΑΝ ΤΟΥ ΠΡΟΣΩΠΟΥ ΜΩΣΕΩΣ, ΟΠΩΣ οὐκ ἠδύνατό τις αὐτὸν ἰδεῖν, εἰ μὴ περιέθετο κάλυμμα.

Ἂν συλλαλήσας τῷ Θεῷ Μωσῆς μόνον, Τόσην ἐπανθεῖ τῷ προσώπῳ τὴν χάριν
Ὡς μηδ' ὁρᾶσθαι συγκαλύμματος δίχα, Τὸ τοῦ Θεοῦ πρόσωπον οἷον; εἰπέ μοι

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ' ὁ φεγγοβόλους ἀπὸ μορφῆς ἵεται αὐγάς;
Ἤ ὕτε παμφαίνῃσι δι' αἰθέρος ἀστεροπῆς φῶς
Θεσπεσίης ἄδηλον, ἀτὰρ δέος ὄμμασι βάλλει;
Μωσῆς, ἐνδ' ὁμίλησε Θεῷ, καὶ λάμψεν ἐκεῖθεν.

# ΛΕΥΙΤΙΚΟΝ.

ΕΙΣ ΤΗΝ ΧΡΙΣΙΝ ΑΑΡΩΝ.

Θέλεις Ἀαρὼν τὴν χρῖσιν μαθεῖν; μάθε.
Λουτρῷ μὲν αὐτὸν Μωϋσῆς πρῶτα πλύνει,
Ἐπενδύει δὲ δεύτερον καὶ ζωννύει, Ἔπειτα καὶ τοὔλαιον ἐγχέας, χρίει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Λουτρὰ δέμας προέκλυσσεν Ἀαρὼν, τοῖς δ' ἔπι, χιτὼν,
Ζώνη θ' ὑποδύτης τε, ἐπωμίς τ' ἔνδε λογεῖον,
Δήλωσίς τ' ἀλήθειά τε, καὶ πέταλον μετὰ μίτρην,
Τοῖς δ' ἔπι λοῖσθον ἔλαιον ἔχρισσεν μιν ἀρχιερῆα.

ΕΙΣ ΝΑ-

SISMANOGLIO MEGARO

### ΕΙΣ ΝΑΔΑΒ, ΚΑΙ ΑΒΙΟΥΔ ΤΟΥΣ ΥΙΟΥΣ ΑΑΡΩΝ, ΟΙ ξένῳ πυρὶ θυμιῶντες, τῷ θεῷ κατετεφρώθησαν.

Τοὺς θυμιῶντας ἐν ξένῳ πυρὶ, ξένε, Θεοῦ ἐκ πυρὸς πάρεργον, εἰπέ μοι, βλέπων.
Ὁ μηδόλως πῦρ ἐμβαλὼν τῷ πυρίῳ, Καὶ θυμιάσας τῷ Θεῷ, πῶς οὐ τρέμεις;

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ναδὰβ, καὶ Ἀβιοὺδ δύο ἦσαν παῖδες Ἀαρὼν,
Ἱερέως ἱερεῖς, πυρὶ δὲ ξένῳ ἀμφεθυμίων.
Αὐτὰρ ἀπ' οὐρανόθι Θεοῦ φλόγες εἰς χθόνα βᾶσαι,
Ἄμφω ὁμῶς κατέφλεξαν, ὁ δ' ἔτρεσεν ἦτορ Ἀαρών.

### ΕΙΣ ΤΗΝ ΚΑΤΑΛΕΥΣΙΝ ΤΟΥ ΚΑΤΑΡΑΣΑΜΕΝΟΥ τὸν Ἰσραηλίτην.

Παῖς ἰσραηλίτιδος ἐξ Αἰγυπτίου, Ἀρὰς κατεσκέδασεν ἰσραηλίτου.
Τὸν ἡμισυν δὲ τοῦτον ἰσραηλίτην Ὁ Δημαγωγὸς ἐκ λίθων θανεῖν κρίνει.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πέτροι κακκεφαλῆς, τοῦ δ' ἀνέρος ἀμφὶ θαμειοὶ
Πίπτουσ', οὕνεκ' ἀρήσατ' Ἑβερ γόνον, ἄθλιος ἀνδρῶν,
Ἄθλιος οὐδ' ἐνόησεν ὅ οἱ κακὸν ἵξετ' ἐκεῖθεν.
Οὐδ' ὅτι πετροβόλητον ἀπηνέα πότμον ἐπίσπῃ.

## ΑΡΙΘΜΟΙ.

### ΕΙΣ ΤΟ ΥΔΩΡ ΤΟΥ ΕΛΕΓΜΟΥ.

Ὕδωρ ἐλεγμοῦ τῷ παλαιτέρῳ νόμῳ, Ὕδωρ καθαρμοῦ τῷ νεωτέρῳ νόμῳ,
Τὸ μὲν θανατοῦν εἶχε τοὺς πεπτωκότας, Τὸ δ' ὑγιάζει τοὺς μετασχόντας πλέον.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δεῦρο γύναι πάρ' ἐμ' ἵξασ', ἀτὰρ σφετέρῃσι παλάμαις
Παντ' ἀπαλὰ κρήδεμνα καρήατος ἐξ ἀπο͂ώσεις.
Τοῦτο δ' ὕδωρ προπίῃσθα ἐλέγχιον ὄφρα δαείην.
Ἠὲ νόθοιο λέχους ἀντιάσας, ἢ καθαρεύεις.

ΕΙΣ ΤΗΝ



### ΕΙΣ ΤΗΝ ΚΑΤΑ ΜΩΣΕΩΣ ΒΛΑΣΦΗΜΙΑΝ ΤΗΣ Μαριὰμ καὶ ὅπως ἐλεπρώθη.

Τὸν δημαγωγὸν τὸν μέγαν Μωϋσέα, Τὸν αὐτάδελφον Μαριὰμ κακῶς λέγεις;
Οὐ γὰρ δέδοικας μὴ Θεὸς ταῦτα κλύων, καὶ Μωσέως σιγῶντος, ἀμύναιτό σε.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὦ φθόνε κακὸν ἄμαχον, ἀπείριτον ἄχθος ἀρούρης.
Νοῦσε μέγ' ἀργαλέη, ἣ καὶ αὐτοῖσιν ὁμαίμοις
Ἐμβεβαυῖα κακὴν κατὰ σαρκὸς λέπραν ἐγείρεις,
Μή ποτέ μοι πελάσαις, Μαριὰμ ὑπόδειγμα φοβεῖ με.

### ΕΙΣ ΤΟΥΣ ΑΠΟΣΤΑΛΕΝΤΑΣ ΚΑΤΑΣΚΟΠΗΣΑΙ τὴν Χαναὰν, καὶ ὑποστρέψαντες γίγαντας εἶναι τοὺς Χαναναίους ἔλεγον.

Ἄνδρες κατεσκέψασθε τὴν Χαναντῖτιν; Ναὶ Μωϋσῆ κύριε. πάντα γοῦν φάτε,
Ἡ γῆ μὲν οἷα, βότρυς οὗτος δεικνύει, Οἱ δ' ἄνδρες ἡμῖν ὡς γίγαντες κανθάροις.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γαίης Χαναντίτιδος ἐπίσκοποι ἀνέρες ἦλθον
Γουδαῖοι, ἀτάρ μιν ἐφεσαότες θεάωντο,
Οἵους ἐν μεγέθει τε φυῇ τ' ἀνατέτροφεν ἄνδρας.
Ἐκ δ' ἄρα βότρυν ἕλοντο, φίλοις δ' ἐμίγησαν ἑταίροις.

### ΕΙΣ ΔΑΘΑΝ, ΚΑΙ ΚΟΡΕ, ΚΑΙ ΑΒΕΙΡΩΝ, ΟΥΣ ΔΙΑ ΤΗΝ εἰς Μωσῆν βλασφημίαν αὐτῶν, ἡ γῆ κατέπιεν.

Τὸν τοῦ Δαθὰν ἄνθρωπε θάνατον βλέπων,
Ἔκφευγε τὴν μίμησιν αὐτοῦ σωφρόνως,
Μὴ γῆ χανοῦσα παμφάγος δέξαιτό σε, Καὶ τοῖς ὁρῶσιν ὄψις οἰκτίστη γένῃ.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γαῖα μὲν εὐρύστερνος ὑπὸ στόμα ῥῆξεν ἀλιτροῖς,
Οὐρανὸς δ' ἀΐδηλον ἀπὸ φλόγα ὗσεν ἔραζε,
Καὶ Κορέ τ', Ἀβειρών τε, Δαθάν τε πέφν', ἀμφὶ δὲ τοῖσι
Κτεῖνε διηκοσίους πεντήκοντ' ἀνέρας ἄρδην.

### ΕΙΣ ΤΗΝ ΡΑΒΔΟΝ ΑΑΡΩΝ ΤΗΝ ΒΛΑΣΤΗΣΑΣΑΝ.

Ἀνθηφοροῦσα ῥάβδος Ἀαρωνῖτις, Τὸ θαῦμα τοῦ σοῦ προγράφει, κόρη, τόκου.

Ἐξ Ἀ-

Ἐξ Ἀαρὼν γὰρ τῆς φυλῆς κατηγμένη, Ὡς ἄνθος ἐβλάστησας αὐτὸν τὸν λόγον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δώδεκα ῥάβδοι ἔσαν προκείμεναι, οἵη ἁπασῶν
Ἀνθοφόρος γεγαυῖα τὸν ἄξιον Ἀρχιερῆα
Δείξει. ἡ δ᾽ ἄρα ῥάβδος Ἀαρὼν ἀνθοφόρησεν
Οἵη, αὐαλέαι δὲ αἱ ἕνδεκα λεῖφθεν ἅπασαι.

ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΑΑΡΩΝ, ΚΑΙ ΤΗΝ ΕΛΕΑΖΑΡ τοῦ υἱοῦ αὐτοῦ, ἀντ᾽ αὐτοῦ, χρίσιν.

Τέθνηκεν ἰδοὺ, Μωϋσῆ, τὸ σὸν στόμα. Καὶ πῶς λαλήσεις οὐκ ἔχων λαλοῦν στόμα;
Ὅμως τὸν υἱὸν, Ἀαρὼν Ἐλεάζαρ Ἔχεις, ὀφλισκάνοντα πατρὸς τὰ χρέα

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὔρεος ἀμφὶ κόρυμβα, τὸ κικλήσκουσι βροτοὶ Ὢρ,
Μωϋσέως μεγάλοιο ἀδελφεὸς ἔκθαν᾽ Ἀαρὼν,
Αὐτὰρ ὁ τοῦδ᾽ ἱερὸν Ἐλεάζαρος ἔνδυτο πέπλον,
Ἔνδ᾽ ἱερεὺς μὲν ἔγεντο, πατρὸς πάϊς ἐσθλὸς ἀπ᾽ ἐσθλοῦ.

ΕΙΣ ΤΟΝ ΧΑΛΚΟΥΝ ΟΦΙΝ, ΤΟΝ ΤΟΥΣ ΟΦΕΟ-δήκτους Ἰσραηλίτας ἰώμενον.

Ζῶντας δράκοντας θανατοῖ χαλκοῦς δράκων,
Ἄρ᾽ οὖν ὁ χαλκὸς τοὺς ὄφεις ἐθανάτου;
Καὶ πῶς τίς ἔγνω χαλκὸν ἐν θανασίμοις; Οὐκοῦν ὁ χαλκὸς, ἀλλ᾽ ὁ τοῦ Σταυροῦ (τύπος

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Λέχριος ἐντετάνυστο ὄφις ξύλῳ ὀρθὰ βεβῶτι
Χάλκεος. ἀντίτυπος ζώων ὄφιων κακοεργῶν,
Τὸν προτιοσσόμενοι ὀφεόδηκτοι Ἑβραῖοι,
Φύγγανον ἐκ κακότητος, ζωὸν δ᾽ ὄφιν ὤλλυε νεκρός.

ΕΙΣ ΤΗΝ ΠΤΩΣΙΝ ΩΓ, ΚΑΙ ΣΙΩΝ ΤΩΝ ΒΑΣΙΛΕΩΝ.

Ἐθνῶν βασιλεῖς Ὤγ τε καὶ Σιὼν ξένε, Ἄμφω ξυνῆψαν πρὸς τὸν Ἰσραὴλ μάχην.
Τί γοῦν τὸ τέρμα τῆς μάχης μαθεῖν θέλεις; Ἄμφω σπάθῃ τέτμηκεν Ἰσραηλίτης.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀρχὸν Ἀμορραίων, Βασὰν δὲ καὶ ἄτερον Ἀρχὸν,
Ἄμφω κοιρανέοντ᾽ ἀπερεισίων πτολιέθρων,



SISMANOGLIO MEGARO



Οἷος Ἰουδαίων κρατεραλκὴς κάββαλε λαός.
Ἄρξε δ᾽ ὑπερφιάλων, καὶ ὑβριστῶν βασιλήων.

ΕΙΣ ΤΗΝ ΟΝΟΝ ΒΑΛΑΑΜ, ΚΑΙ ΟΠΩΣ ΚΛΗΘΕΙΣ ὑπὸ Βαλὰκ ἐπὶ κατάρᾳ τοῦ Ἰσραὴλ, ὁ δ᾽ εὐλόγησε μᾶλλον αὐτόν.

Τί τὸν Βαλαὰμ προσκαλῇ Βαλὰκ μάτην; Οὐ μὴ κατείπῃ τῶν ἐπευλογημένων᾽
Οὐδ᾽ εὐλογήσει τοὺς κεκατηραμένους, Μὴ τῆς ὄνου γοῦν ἀφρονέστερος γίνου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Βαλαὰμ ἀλλοφύλοιο ὄνος ποτὲ γῆρυν ἄειρεν,
Ἀγγέλου ἀντιάσαντος. ἐμοὶ δ᾽ ὄνε κάμμορε γλῶσσα,
Οὔ ποτέ μοι κραιπνὴν ἐπὶ δύσανε γῆρυν ἀείρεις,
Ὦ θεὸς ἀντίασεν, οὐδ᾽ ἀλλοφύλῳ γεγαῶτι;

ΕΙΣ ΤΟΝ ΦΙΝΕΕΣ ΣΥΝΕΚΚΕΝΤΟΥΝΤΑ ΤΟΝ ΜΙΓΕΝ-τα τῇ Μαδιαναίᾳ Ἰσραηλίτην.

Τὸν σειρομάστην Φινεὲς λαβὼν πάλιν, Τὸν Ἰσραηλίτην μετ᾽ ἠπιστημένη
Ἁμαρτίᾳ μιγέντα Μαδιανίτι Πλήξας ἀπόσπα τῆς κατ᾽ αὐτὴν αἰσχύνης.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μίκτο Μαδιανίτιδι Ἑβρ παῖς, ἄφρονα ῥέζων,
Χώσατο δ᾽ ὑψιμέδων, πολλὸς δ᾽ ὀλοθρεύετο λαός.
Ἀνθ᾽ ὧν ὡς ἐνόησεν ὀλέθρια Φινεὲς ἔργα,
Οὔτασεν ἀμφοτέρους, θεῖαν δ᾽ ἀπεπαύσατο μῆνιν.

ΕΙΣ ΤΗΝ ΑΛΩΣΙΝ ΜΑΔΙΑΜ.

Φεῦ σοι Μαδιὰμ τῆς ἀκοσμίας ὅση! Τοὺς πέντε μέν σου βασιλεῖς δούλους βλέπω,
Τὸ κάλλος αἶσχος, τὰς πόλεις πεδιάδας,
Σὲ δ᾽ αἰχμάλωτον Ἰσραὴλ, καὶ δουλίδα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οἳ δ᾽ ἑάλωσαν πέντε Μαδιανῖται βασιλῆες,
Ἔγχει Ἑβραίῳ ὕπο, γύνατο φίλα δαμέντες,
Σοὺρ τε, Ῥοβὴμ τε, Ῥοχὸμ τε, καὶ Εὐὶν, ἀμφὶ δὲ τοῖς Οὐρ.
Τοῖσι δ᾽ ἔφ᾽ ἕκτος ἔλειψε φάος Βαλαὰμ ὑπὸ δουρί.

# ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ.

ΕΙΣ ΜΩΣΗΝ ΑΠΟΚΑΘΙΣΤΩΝΤΑ ΔΗΜΑΓΩΓΟΝ ΑΝ-
θ' ἑαυτȢ τὸν Ναυῆ Ἰησȣ̃ν, ἐν τῷ μέλλειν ἀποθνήσκειν.

Μωσῆς μὲν ἐξάγει σε τῶν αἰγυπτίων. Γογγυσὰ λαὲ, δῆμος Ἰσραηλίτης
Ὁ παῖς δὲ Ναυῆ, ϗ θεράπων Μωσέως. Πρὸς τὰς ἐπαγγελθέντας εἰσάξει (τόπȣς.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐ δὲ σὺ γαῖαν ἔειδες ἐπαγγελίης μέγα Μωσῆ.
Οὐ δὲ σύ. ἀλλά σε πρὸ πνοιὴ λίπεν. ἀντὶ δὲ σεῖο
Ναυῆ παῖς μετέγοντο μέγα κρατέων ἐνὶ δήμῳ,
Ἑβραῖοι δέ σε κλαῦσαν ἀολλέες ἄλλος ἐπ' ἄλλῳ.

ΕΙΣ ΤΗΝ ΕΝ ΔΕΥΤΕΡΟΝΟΜΙΩ ᾨΔΗΝ ΜΩΣΕΩΣ.

Ὠδὰς δύω γνώριζε τὰς τȢ Μωσέως. Τὴν μὲν χαρᾶς ἔπασμα τὴν ἐν ἐξόδῳ;
Τὴν δὲ δριμεῖαν, ϗ φρίκῃ συνῃσμένην, Τὴν ἐγγραφεῖσαν τῷ νόμῳ τῷ δευτέρῳ.

ΕΙ ΤΟ ΑΥΤΟ.

Ἆσμα τόδ' ᾆσμα φόβοιο ΘεȢ̃ βέλη ἄμμιν ἀπειλȢ̃ν,
Αἵματος ἐκμεθύοντα, κρεωφάγȣ τε μαχαίρης·
Χείλεα παμφαγέα· πτοίη μ' ἔχει εἰσαΐοντα,
Μή ποτε σῶν βελέων πειρήσομαι, μέγ' ἀνάσσων.

ΕΙΣ ΜΩΣΗΝ ΕΝ ΤΩ ΑΠΟΘΝΗΣΚΕΙΝ ΕΥΛΟ-
γȣ̃ντα τὰς δώδεκα φυλὰς Ἰσραήλ

Τὸν εὐλογητὸν Ἰσραὴλ τῷ Κυρίῳ Καὶ Μωϋσῆς νῦν εὐλογεῖ, λοῖσθα πνέων,
Οὐχ ἐν μιᾷ τὰς πάντας εὐχῇ συνδέων,
Ταῖς δ' εὐλογίαις τὰς φυλὰς τιθεὶς μέτρον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὔρεϊ εἶδεν ἄνακτα Θεὸν μέγαν ἀμφὶ μεγάλῳ
Μωσῆς, ἐνδ' ὅπ' ἄκȣσε, λεῷ δ' ἐσάφησεν ἀκȣ́σας.
Οὔρεϊ καί τε θάνατον ἐείδετο, πρῶτα δὲ φυλαῖς
Δώδεκα ἑβραΐκαις εὐχὰς δότο δώδεκα πάσας.



SISMANOGLIO MEGARO



# ΙΗΣΟΥΣ.

ΕΙΣ ΡΑΑΒ ΤΗΝ ΠΟΡΝΗΝ, Η ΤΟΥΣ ΚΑΤΑΣΚΟΠΟΥΣ
Ἱεριχὼ σώσασα, ὕστερον, ἁλισκομένης αὐτῆς,
μόνη τῶν ἄλλων ἐσώθη.

Σώσασα Ῥαὰβ Ἰσραηλίτας δύω, Ἀντεπρίατο παγγαιῆ σωτηρίαν.
Μιμεῖσθε πόρναι τῆς Ῥαὰβ τὴν καρδίαν. Ὡς ἂν τύχητε ψυχικῆς σωτηρίας

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄνδρε φύγεσθε, φύγεσθε, καλωδίῳ ἀμφιδεθέντες
Θυρίδος, ἐκ δὲ μολεῖτ'· ἐμὲ δ' ἐκ κακότητος ἔλεσθε.
Ἦμος ἐμὸν πτολίεθρον ἁλώσετε ὀξέϊ δουρὶ
Ὑμετέρῳ. τάδε πάντα τελέσσομεν, ὡς ἐπέοικεν.

ΕΙΣ ΤΗΝ ΔΙΑΒΑΣΙΝ ΤΗΣ ΚΙΒΩΤΟΥ, ΚΑΙ ΤΗΝ
Ἰορδάνου διαίρεσιν.

Ἂν ἡ Κιβωτὸς ἡ πάλαι τυπȣμένη, Διχῇ διαιρεῖ τὰς ῥοὰς Ἰορδάνȣ.
Πῶς ἡ Κιβωτὸς ἡ νοητὴ Μαρία, Οὐ τὰς θαλάσσας τῶν ἐμῶν κακῶν τέμῃ;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε ῥέεθρον καλὸν, Ἰορδάνη ἀργυροδίνη
Στῆκας; τοῖς δ' ἀνέρεσσιν ὁδὸς γένȣ; ȣ̓δὲ διχάσθης.
Ἢ ὥστε τις διχάσειε τομῷ ξίφει ἄρνα νεογνόν;
Τίς σε τάραξε; ΘεȢ̃ αἰνῶς περιδείδια κίσην.

ΕΙΣ ΤΗΝ ΤΩΝ ΕΒΡΑΙΩΝ ΥΠΟ ΙΗΣΟΥ ΠΕΡΙΤΟΜΗΝ.

Παρῆλθες ἀσέβειαν ὡς Ἰορδάνην, Τὴν σὴν τὸ λοιπὸν κόψον ἀκροβυστίαν
Καθὼς Ἰησȣ̃ς ἐν μαχαίρᾳ πετρίνῃ, Ἐν ἀπαθείᾳ δηλαδὴ σαρκὸς πάθη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ξίφει σιδαρέῳ πρώτως μὲν Ἅβραμ περιτέμνει
Υἷας ἑȣ̃ς, ὁ δ' ἔπειτα πετρίνῃ ἀμφὶ μαχαίρῃ
Ἰησȣ̃ς ἐὰ ὑπέρταμεν, ὃ τύπος ἔπλετο ΧριστȢ̃,
Ὅς ῥ' ἀπαθείης ξίφει οἶδε βροτȣ̀ς περιτέμνειν.

ΕΙΣ ΙΗΣΟΥΝ, ΔΙΑ ΤΟΝ ΕΠΙ ΤΗ ΟΠΤΑΣΙΑ ΤΟΥ ΑΓ-
γέλου φόβον, πίπτοντα ἐπὶ πρόσωπον εἰς γῆν.

Ὑποστράτηγε τοῦ θεόπτου Μωσέως, Ἀρχαγγελοπτεῖς, καὶ τρέμων πίπτεις κάτω.
Τί γοῦν πέπονθας ὁ τρέμων ἀρχαγγέλους; Εἰ τοῦ Θεοῦ κατεῖδες αὐτοῦ τὴν θέαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄγγελος αἰγλήεις ἐξ αἰθέρος εἰς χθόνα βαίνων,
Ὁπλοφόρος προπέφαντο Ἰησοῦ υἱεῖ Ναυῆ.
Ὅς δέ μιν ὡς ἐνόησε Θεοῦ μέγαν Ἄγγελον εἶναι,
Τῆμος ἔραζε κύνησε, τρόμος δέ οἱ ἵκετο γυῖα.

ΕΙΣ ΤΗΝ ΑΛΩΣΙΝ ΙΕΡΙΧΩ.

Εἰ δακρύσαι βέλοιο δικαίως ξένε, Τὴν Ἱεριχὼ κλαῦσον ἠφανισμένην,
Πόλιν τοσαύτην μυριοπληθεστάτην, Ἐξ ἧς Ῥαὰβ σέσωσο τῶν ἄλλων μόνη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἑπτάκι σαλπισάντων ἑπτὰ Θεοῦ ἱερήων,
Τείχεα Ἱεριχὼ χαμάδις πέσον ἀθρόα πάντα.
Τίπτε δὲ λαὸς ἅπας, καὶ κτήνεα ὤλλυτο πάντα,
Οἴη ἀπ᾽ ἐκ κακότητος Ῥαὰβ φύγεν ἐξ ἅμα πάντων.

ΕΙΣ ΤΗΝ ΚΑΤΑΛΕΥΣΙΝ ΑΧΑΡ ΤΟΥ ΚΛΕΨΑΝΤΟΣ
ἐκ τῶν λαφύρων Ἱεριχὼ γλῶσσαν χρυσῆν.

Τί τὴν κλαπεῖσαν γλῶσσαν ἐν γῇ χωννύεις Ἄχαρ πονηρέ; κἂν γάρ ἐστι χρυσίνη,
Ὅμως λαλήσει καὶ σιγῶσα τὸν δόλον, Καὶ πετρίνην σε τὴν στολὴν ἐπενδύσει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὕνεκα σῆς δολόεν κακομήχανε Κύριος Ἄχαρ
Χώσατο κλεπτοσύνης, πολλὸν δέ κεν ὤλεσε λαόν.
Ἀλλά γε καὶ σὺ λάϊνον ἐπέσσαο τόνδε χιτῶνα,
Λάκκισόν τε πέτρησιν ἐφεύρεο χάμμορε πότμον.

ΕΙΣ ΤΗΝ ΠΥΡΠΟΛΗΣΙΝ ΤΗΣ ΓΑΪ ΠΟΛΕΩΣ, ΚΑΙ
τὸν ἀνασκολοπισμὸν τοῦ βασιλέως αὐτῆς.

Ἡ Γαὶ πόλις δάκρυε πυρπολουμένη, Ἀλλ᾽ ὡς ἔοικεν οὐδὲ δακρύειν ἔχεις.
Τὸ πῦρ γὰρ ἐξήρανε τὰ βλέφαρά σου, Καὶ πᾶσαν ἐξίκμασεν ὑγρὰν ἀτμίδα.

ΕΙΣ ΤΟ

Δ

SISMANOGLIO MEGARO



ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποτ᾽ ὅδ᾽ ἐκ ξύλοιο μετήορός ἐστι διδύμου
Ἄθλιος; ἐκ δέ οἱ ὄσσε βίη βάλεν; οὗτος ἐκεῖνος
Γαὶ βασιλεὺς μεγαδόξος, ἀτὰρ μέγα αἶσχος ἀπόφλει,
Ἄρτι μὲν ἠνεμίῳ ὑπὸ πότμῳ θυμὸν ὀλέσσας.

ΕΙΣ ΤΗΝ ΔΙ᾽ ΕΠΙΤΙΜΗΣΕΩΣ ΙΗΣΟΥ ΕΝ ΓΑΒΑΩ
στάσιν ἡλίου

Ἥλιε νῦν μὲν Ἰησοῦς ἵστησί σε, Ἐν Γαβαὼ τοὺς πέντε νικῶν σατράπας.
Χριστὸς δ᾽ Ἰησοῦς ἐξαμαυρώσει σε Τὸν τοῦ σκότους ἄρχοντα τῷ Σταυρῷ τρέ(πων

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἠέλιος ἀκάματος ἀείδρομος ἵσταται ὁρμῇ
Ἐν Γαβαώ, τὸ γάρ οἱ ἐπεκέκλετο δῖος Ἰησοῦς.
Ἦ ῥα μετεσσομένου ὅδ᾽ Ἰησοῦ ἔπλετο τύπος,
Ὅς σέλας Ἠελίοιο μετὰ ζόφον ἤματι τρέψει.

ΕΙΣ ΤΟΝ ΤΩΝ ΙΕΒΟΥΣΑΙΩΝ ΟΛΕΘΡΟΝ, ΟΥΣ ΚΑΤΩ
μὲν Ἰησοῦς μαχαίραις, ἄνω δὲ Θεὸς χαλάζαις ἔκτεινε.

Ποῦ δραπετεύεις ἀλλόφυλε; ποῦ τρέχεις; Ἄνω Θεός σε ταῖς χαλάζαις κτιννύει,
Κάτω μαχαίραις Ἰσραὴλ ὀλλῦσί σε, Μάτην προφεύγεις οὐ παρέλθῃς τὸν (φόνον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πάντ᾽ Ἰεβουσαίων ἀτάσθαλα ἔθνεα πάντα
Ἰησοῦς μὲν ἔπεφνε κάτω χαλκήρεϊ δουρί,
Πετροβολεῖ δ᾽ ἐφύπερθε Θεὸς πετρῆσι χαλάζης
Τοὺς δὲ σφισὶ μεδέοντας ἐπὶ ξύλου ἔλλαβε πότμος.

ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΙΗΣΟΥ.

Ὁ χθὲς τὸν ὀξὺν Ἡλίου στήσας δρόμον, Νῦν παντελῆ πέπονθεν ἀκινησίαν,
Ὡς μὴ Θεὸς δόξειε τοῖς ἀπλουστέροις, Πρὸς τὰ ξένας βλέψασι θαυματουργίας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πολλὰ μὲν ἐκτελέσας σημήϊα, πολλὰ δ᾽ ὀλέσσας
Ἔθνεα ἀλλοφύλων ἀρήϊα δῖος Ἰησοῦς,
Παισὶ δ᾽ Ἕβερ χαρίεσσαν ἐπὶ χθόνα κληροδοτήσας,
Αὐτὰρ ἔπειτα θάνεν λιπαρῷ ἐνὶ γήραος οὐδῷ.

ΚΡΙΤΑΙ

# ΚΡΙΤΑΙ.

ΕΙΣ ΙΟΥΔΑΝ ΤΟΝ ΜΕΤΑ ΙΗΣΟΥΝ ΑΡΞΑΝΤΑ τῶν Ἑβραίων.

Τοῦ Μωσέως θανόντος Ἰησοῦς μένει,   Τοῦ δ' Ἰησοῦ θανόντος Ἰούδας μένει,
Μὴ γὰρ στρατηγῶν οὐδενὸς ὁ Δεσπότης,   Μὴ γὰρ Θεῷ λείπουσιν ἀκραιφνεῖς φίλοι.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ναυῆ παῖς Ἰησοῦς κάτθανεν ἀρχὸς Ἑβραίων,
Κάτθανεν, ὃς πόλλ' ἔοργε, Θεὸς δ' ἐχθροῖσι φαάνθη.
Ἔγρεο Ἑβραίοις μετ' Ἰησοῦν ἀρχὸς, Ἰούδα,
Ὡς γάρ εἰ ἕσπεθ', ὁμῶς καί σοι Θεὸς ἔψετ' ἀρωγός.

ΕΙΣ ΑΔΩΝΙΒΕΖΕΚ ΤΟΝ ΧΑΝΑΝΙΤΗΝ, ΟΣ ΠΑΝΤΑΣ ΟΥΣ ἐχειροῦτο τῶν ποδῶν στερῶν καὶ τῶν χειρῶν, καὶ αὐτὸς τὰ ὅμοια πέπονθεν.

Ἀδωνιβεζὲκ βασιλεῦ Χαναναῖτα   Τῆς μὲν Βεζὲκ, Θεόν σε τοὔνομα γράφει,
Καθὼς καὶ αὐχεῖς αὐτὸς, ὡς δ' ἐγὼ κρίνω,   Σὸν ὂν Βεζὲκ δείκνυσιν Ἀϊδωνέα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τλῆμον Ἀδωνιβεζὲκ ἄχεαι, καὶ ἅπερ ποτὶ γαίῃ
Ἕρπε διὰ στέρνοιο κατ' αἰόλον ἑρπυστῆρα.
Καὶ σύ ποτ' ἄρ' πολλῶν ἀλλογλώσσων βασιλήων
Γούνατά τ' ἐξέταμες, χεῖράς τ' ἀπέκοψας ἐνεργής.

ΕΙΣ ΤΗΝ ΕΙΔΩΛΟΛΑΤΡΕΙΑΝ ΕΒΡΑΙΩΝ ΚΑΙ ΤΗΝ ΕΦΟ-δον Χουσαρσαθεὶμ τοῦ Σύρου, ὃν Γοθονιὴλ ὁ Ἰσραηλίτης κατεπολέμησεν.

Ἀνθ' ὧν παρηνόμηκας εἰς τὸ σὸν σέβας,   Καὶ τῷ Βάαλ τέθυκας Ἰσραηλῖτα.
Χουσαρσαθεὶμ δούλευσον ἀρχῷ Συρίας.   Γοθονιὴλ δὲ τοῦτον ἡττήσει πάλιν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Χθιζὰ μὲν εὐσεβέοντες Ἰουδαῖοι γένος ἄφρον
Μυρίον ἔθνος ἄϊστον ἠλίσσατε νῦν δ' ἀσεβοῦντες

Ἔθνε-

SISMANOGLIO MEGARO



Ἔθνεσιν ἐξεδόθητε, Θεὸς δ' ἡμέας ἐλεήσας,
Αὖτι κατ' ἐχθιόνων κρατεραλκέα ὤπασεν ἰσχύν.

ΕΙΣ ΑΩΔ ΤΟΝ ΑΠΟΚΤΕΙΝΑΝΤΑ ΔΟΛΩ ΤΟΝ Μωαβίτην Ἐγλώμ.

Χαίροις Ἀὼδ μάχαιρα διστομωτάτη,   Δι' ἧς Ἐγλὼμ ἔκτεινε τὸν Μωαβίτην,
Ὅλων μονώσας τῶν θεραπόντων δόλῳ,   Τῷ δ' Ἰσραὴλ καύχημα γίγνεται μέγα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μωὰβ ἄνασσεν Ἐγλὼμ κακὰ δ' ἔρδεν Ἰουδαίοισι,
Τοῖς δὲ Θεὸς πονέουσ' ἐλεήμονα ἔμβαλε κῦρον,
Καὶ σφιν ἄνω προπέπομφεν ἀρηγόνα ἄλκιμον Ἀὼδ,
Ὃς τὸν Ἐγλὼμ κατέπεφνε λόγῳ δολόεντι συλήσας.

ΕΙΣ ΔΕΒΩΡΑΝ ΤΗΝ ΝΙΚΗΣΑΣΑΝ ΙΑΒΙΝ τὸν Χαναναῖον.

Γυνὴ Δεβώρα μάρτυς ἐστὶν ἡ φύσις,   Ἀνὴρ Δεβώρα μάρτυς ἡ στρατηγία.
Τί γοῦν γύνανδρός ἐστιν; οὐδαμῶς ξένε,   Γυνὴ καθαρῶς, ἀνδροκάρδιος δ' ὅμως.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄρσενες οὐκέτ' ἔασιν ἀμείνους θηλυτεράων,
Θηλυτέρη γὰρ ἅπασιν Ἰουδαίοις Δεβώρα
Ἄρξε, καὶ ἀντιβίοισι μαχήσατο, ἐνδέ τ' Ἰαβὶν
Πανσυδίῃ κατέπεφνε Χαναναίτην βασιλῆα.

ΕΙΣ ΙΑΗΛ ΤΗΝ ΠΑΣΣΑΛΕΥΣΑΣΑΝ ΤΟΝ ΣΙΣΑΡΑΝ.

Ὦ γάλα πικρὸν ᾧ μεθυσθεὶς Σισάρα   Τῆς Ἰαὴλ πάρεγον οἰκτρὸν εὑρέθη,
Καὶ πατταλευθεὶς τοῦ βίου ἀπηλλάγη,   Μηδ' αὐτὸς κἂν γυνὴ ὅς τις αὐτὸν κτινύει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γλάγεος ἐξεμέθυσε χαμαὶ δὲ κάθευδε Σισάρα.
Τοῦ δ' Ἰαὴλ κροτάφοισιν ἐπήξατο πάσσαλον ὀξὺν,
Ἐκ δὲ θυμὸν μελέων φίλον εἵλετο διὰ γυναικῶν.
Ξείνια ταῦτα κάκιστα πικρὸν γλάγος, ἄθλιος ὕπνος.

ΕΙΣ ΤΟΝ ΠΟΚΟΝ ΓΕΔΕΩΝ.

Θάρσει Γεδεὼν ὑγρὸν ἀθρῶν τὸν πόκον,   Τῆς γῆς ἁπάσης μηδαμῇ βεβρεγμένης.
Θάρσει Γεδεὼν ξηρὸν ἀθρῶν τὸν πόκον,   Τῆς γῆς ἁπάσης πανταχῇ βεβρεγμένης.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σῆς ὅδε ἀγνοτόκεια πόκος τύπος ἔπλετο μήτρης,
Ὃν Γεδεὼν μὲν ἔριψε κατὰ χθονὸς αὖον ἐόντα,
Αὐτὰρ οἱ οὐρανόθεν δροσόεις ἀνικάππεσσεν ὄμβρος
Οἵῳ οὐδὲ πρόπασα δρόσῳ ὑποδεύετο γαῖα.

ΕΙΣ ΓΕΔΕΩΝ ΣΥΝ ΜΟΝΟΙΣ ΤΡΙΑΚΟΣΙΟΙΣ τὴν Μαδιὰμ ἡττήσαντα.

Ἠχοῦσα σάλπιγξ, ὑδρία κεκλασμένη, Καὶ λαμπὰς ἐξαφθεῖσα Μαδιὰμ τρέπει
Οὐ τοῦτο τῆς σάλπιγγος, οὐ τῆς ὑδρίας, Οὐ τῆς φαιάσης λαμπάδος, Θεοῦ μόνου

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τοῖς δὲ τριηκοσίοις Γεδεὼν ἅμα, οἳ κατὰ κύνας
Γλώσσῃ λάψαν ὕδατος ἀειρεέθρου ποταμοῖο
Ἀλλοφύλων ὤναριξε μυριάδας, οὐδὲ Μαδιὰμ
Αὐχένα κόψ' ἀγέρωχον. ὅ οἱ Θεὸς ἔσπετ' ἀρωγός.

ΕΙΣ ΑΒΙΜΕΛΕΧ ΤΟΝ ΦΟΝΕΥΣΑΝΤΑ ΤΟΥΣ ΕΑΥΤΟΥ ἀδελφοὺς, εἶτα πέτρᾳ μυλικῇ καταῤῥαγείσῃ ὑπὸ χειρὸς γυναικὸς ἀναιρεθέντα.

Ἀνθ' ὧν πρὸς αὐτὴν ἐμπαροινεῖς τὴν φύσιν,
Καὶ τοὺς ἀδελφοὺς κτιννύεις Ἀβιμέλεχ,
Λίθῳ μυλικῷ συντριβήσῃ τὴν κάραν, Καὶ χεὶρ γυναικὸς καταχαυχήσοιτό σου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀβιμέλεχ μέγ' ἄδικε, κασιγνήτοις πολὺ πῆμα,
Ταῦτά σοι ἐς' ἐπίχειρα φιλοπτολέμοιο μανοίης.
Πέτρος ὑπὲρ κεφαλῆς θανατηφόρος ὀξέα θλάττων,
Καδδ' ἄορ ἐν σπλάγχνοισι πεπηγμένον, οἷσιν ἀπώλου.

ΕΙΣ ΙΕΦΘΑΕ ΤΟΝ ΘΥΣΑΝΤΑ ΤΗΝ ΠΑΙΔΑ ΕΑΥΤΟΥ τῷ Θεῷ διὰ τὴν ὑπόσχεσιν.

Μακάριος σὺ τῆς σφαγῆς Ἰεφθάε. Τὴν παῖδα γάρ σου τὴν μόνην, τὴν παρθένον.
Μηδὲν μελήσας τῷ Θεῷ σφάζων θύεις. Τὰς εἰς ἐκεῖνον ἐκτελῶν ὑποσχέσεις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παρθενικὴ μελέη σὺ μὲν ὀρχῇ χερσί δε σῇσι

Τύμπα-

SISMANOGLIO MEGARO



Τύμπαν' ὑποκτυπέεις, περὶ πατρὶ δὲ κάμμορε χαίρεις,
Οὕνεκ' ἀπὸ πτολέμοιο τροπαιοφόρος μετανοσεῖ.
Αὐτὰρ ὅγ' οὐ μὲν ἑκὼν, ἔμπης δέ σε δειροτομήσει.

ΕΙΣ ΤΗΝ ΕΞ ΕΠΑΓΓΕΛΙΑΣ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΣΑΜΨΩΝ.

Τίκτει Μανωὲ, θαῦμα, πρὸς γῆρας μέσον,
Καὶ ταῦτα, Σαμψὼν, ἄλλο θαῦμα, τὸν μέγαν,
Καὶ θαῦμα τρίτον, ἐξ ἀκάρπου νηδύος, ἐπαγγελείσης τῆς σπορᾶς ὑπ' ἀγγέλου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄσσα τοι ἐξερέω στέρνοις ἐνικάτθεο γύναι,
Παῖδα τέκῃς κρατερὸν, καὶ ἀλλοφύλοις μέγα πῆμα,
Αὐτὰρ οἱ ἐς κεφαλὴν τέμνων ξυρὸς οὐκ ἀναβήσῃ,
Οὐ πίετ' ἐξ οἴνου, ναζωραῖος Θεοῦ ἔσαι.

ΕΙΣ ΤΟΝ ΣΑΜΨΩΝ ΣΧΙΖΟΝΤΑ ΤΟΝ ΛΕΟΝΤΑ.

Τὸν μειρακίσκον οὐ βλέπεις Σαμψὼν ξένε;
Πῶς τὸν λέοντα συλλαβὼν σχίζει; βλέπω,
Ὁ τοίνυν ὢν μεῖραξ τοιαῦτα δράσας, ὁποῖος ἔσαι συνταγεὶς τοῖς ἀνδράσιν;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὔρεος ἔσσυτ' ἄφαρ σκύμνος λιὸς ἐκ δασυφύλλου,
Οὐρῇ παῖε δὲ πλευρὰν, ἀτὰρ λυγρὰ μήδετο ἔργα.
Τὸν δ' ὡς οὖν ἐνόησεν ἐπάλμενον ἐγγύθι Σαμψὼν,
Χερσὶ λαβὼν στιβαρῇσι κατέκτανε διχθὰ κεάσσας.

ΕΙΣ ΤΟ ΑΙΝΙΓΜΑ ΣΑΜΨΩΝ ΤΟ, ΤΙ ΒΡΩΜΑ ΕΞ ἔσθοντος, καὶ ἐκ πικροῦ ἐξῆλθε γλυκύ;

Τί τρωκτὸν ἐκ τρώγοντος; ὦ Σαμψὼν λέγεις,
Ἐκ δ' ἰσχύοντος γλυκερὸν προῆλθε τί;
Μὴ τὸν λέοντα, καὶ τὸ τοῦ σίμβλου μέλι Αἰνιγματωδῶς τῷ λόγῳ παριστάνεις;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Λιὸς ὀρεσκώοιο ἀγηνορίην ποτὲ Σαμψὼν
Κάββαλε, τὸν δὲ πεσόντα μέλισσαι ἀμφεπένοντο,
Τῶν ἀπὸ χερσὶ φίλῃσι μέλι δαίσατο Σαμψὼν,
Ἀλλοφύλοις δ' αἴνιγμα προήκατο δεινὸν ἰδέσθαι.

ΕΙΣ ΣΑΜ-

ΕΙΣ ΣΑΜΨΩΝ ΟΝΟΥ ΣΙΑΓΟΝΙ ΤΟΥΣ ΑΛΛΟΦΥΛΟΥΣ
Φονεύσαντα, ἣν καὶ ἀποθλίψας ἔπιεν

Ανδρὸς μία χεὶρ, σιαγὼν ὄνου μία. Ὅλους απεκτόνασιν ανδρας χιλίους.
Μὴ χειρὸς ἔργα ταῦτα μὴ σιαγόνος. Οὐχ ἔστιν ειπειν. τοῦ Θεοῦ δε καὶ μόνου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σιαγόνος ποτ' ὄνοιο ἐφήψαο ἄλκιμε Σαμψὼν,
Ε'νδ' ἀνέρας ἀνάριξας ἀπείρονας. ὕστερον αὐτε
Δίψης ἀργαλέης κατεπαύσαο ἄχθος ἄλαστον,
Η῞δε γὰρ ἱμερόεν τοι ἀπέκλυσε νᾶμα σιαγών.

ΕΙΣ ΣΑΜΨΩΝ ΤΑΣ ΤΗΣ ΓΑΖΗΣ ΠΥΛΑΣ ΕΠΙ
τῶν ὤμων ἀράμενον, καὶ εις Χεβρὼν
ἀνενεγκόντα τὸ ὄρος.

Ω῟ Φρικτὸς ὦμος, ὃς πύλας Γάζης ὅλας,
Μοχλοῦ μετ' αὐτοῦ, καὶ δυοῖν παραστάδων
Φέρων ἀνέλκεις εἰς Χεβρὼν ὄρους λόφον. Σὺ τάχα καὶ γῆν πᾶσαν ἐξεβάστασας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γάζαν ὑπὸ πτολίετρον ἑταίρη μίσγετο Σαμψὼν,
Τῷ δὲ πύλας πτύξαντ' ἀραρυίας ἀνναετῆρες.
Τοὺς δ' ὡς οὖν ἐνόησε μέσην κατὰ νύκτα βαθεῖαν
Ἤρκε κατωμαδίους πυλεῶνας, ἆλτο δ' ἐκεῖθεν.

ΕΙΣ ΤΗΝ ΠΡΩΤΗΝ ΑΠΟΠΕΙΡΑΝ ΔΑΛΙΔΑΣ, ΗΝ ΕΠΕΙ-
ρᾶτο τοῦ Σαμψών, καθ' ἣν οὐ περιεγένετο αὐτοῦ,

Ω῾ς κρεῖσσον εἰς πῦρ ἐμπεσεῖν τὸ παμφάγον.
Ως κρεισσον εἰς θάλασσαν, εἰς Ἅδου στόμα,
Ἤ γ' εἰς γυναικὸς ἐμπεσεῖν μυσαρίαν. Ἡ Δαλιδά σε ταῦτα παθέτω, ξένε;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε γύναι κακότεχν' ὀλοὸν γένος, αἰσχρὰ Δαλιδὰ
Ἀνδρὸς ἐοῦ πειρητίζεις διαγνώμεναι ἀλκήν;
Ὄφρα κεν ἀλλοφύλοισι φανῇς κρυφίας διὰ βουλάς.
Ω῾ς ἄρα πάγχυ γύναι φιλομόζυγος ἔπλεο δαμαρ!

ΕΙΣ ΤΗΝ



ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΑΠΟΠΕΙΡΑΝ, ΚΑΘ' ΗΝ
οὐδὲ αὖθις περιεγένετο.

Ω῾ς κρεῖσσον ἄρκτοις συμβιοῦν ταῖς ἀγρίαις.
Καὶ συλλαλεῖν δράκουσι, καὶ συζῆν λύκοις.
Καὶ συγκατοικεῖν σκορπίοις ἀνημέροις, Ἢ γοῦν γυναιξὶ· τὴν Δαλιδάν μοι βλέ-
(πε

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κουριδίης ἀλόχου ἐπεβήσαο, ἄλκιμε Σαμψὼν.
Ἧς ὄφελες λεχέων απο τηλόθι λέκτρα βαλέσθαι.
Ἢ γὰρ ἄν ἔκ σε φίλων βλεφάρων ὄσσ[ο]ν ὄσσον ἀμέρσει.
Μειλιχίοις ἐπέεσσι, νόον ἀπὸ κρυπτὸν ἔλουσα.

ΕΙΣ ΤΗΝ ΤΡΙΤΗΝ, ΚΑΘ' ΗΝ ΟΥΔΕ ΑΥΘΙΣ.

Τὸν Σατανᾶν σχοίη τις εις συνοικίαν, Τελχῖνι πικρῷ συνδιάζων τὸν βίον.
Μὴ γοῦν γυναικὶ, καὶ γυναικὶ μαχλάδι· Ἡ Δαλιδα μοι μάρτυς ἐστὶ τοῦ λόγου

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νῦν τρίτατον σέο, Σαμψὼν, Δαλιδὰ πειρητίζει.
Σὸν κράτος ἀμφαφόωσα. πόθεν δ' ἄρα; ὄφρα δαείη.
Εἴπῃ δ' ἀλλοφύλοις· σὺ δέ οἱ ἀπατήλια βάζεις.
Εὖ φρονέων αχρι τοῦ, τετράτη δέ σε πεῖρα ὀλέσσει.

ΕΙΣ ΤΗΝ ΤΥΦΛΩΣΙΝ ΤΟΥ ΣΑΜΨΩΝ.

Τί γὰρ μιαρὰ Δαλιδὰ πρὸς νοῦν στρέφεις, Τυφλοῦσα Σαμψὼν ἆρ' ἐραστὴν βελτίω
Δοκεῖς ἐφευρεῖν, ποῦ δ' ἂν εὕρῃς, καὶ τινα; Ὄντως γυνὴ σὺ χρῆμα μυσαρώτα
(τον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς σε φίλων βλεφάρων ἀπαμέρσατο, ἄλκιμε Σαμψών;
Ὃς με κόμην κεφαλῆς ἀποείλετο. τίς δ' ἄρ' ἐκεῖνος;
Η δε γυνὴ δολόεσσα Δαλιδὰ δέ μιν καλέουσιν
Ὢ τάλαν, ὡς κραδίηφιν ὄφιν διεθρέμανας οὗλον.

ΕΙΣ ΣΑΜΨΩΝ ΑΛΗΘΟΝΤΑ ΕΝ ΤΗ ΜΥΛΩ.

Εἰ δάκρυον δείλαιον ἐκβλύζειν θέλεις, Δάκρυε τυφλωθέντα Σαμψὼν τὸν μέγαν
Καὶ τυφλὸν ἀλήθοντα, φεῦ δίκην ὄνου· Καὶ τῶν γυναικῶν φεῦγε τὴν πονηρίαν

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὃς ποτ' ὄνου κατέπεφνε σιαγόνι μυρία φῦλα,

Νῦν γοῦν

E

SISMANOGLIO MEGARO

Νῦν γοῦν ἤϋτ᾽ ὄνος ποτὶ μύλῃ σῖτον ἀλήθει.
Οὐ θέμενος βλεφάροισι προδερκομένοισι καλύπτρην,
Αὐτὰ δὲ φίλα βλέφαρα καλυψάμενος τυφλότητι.

ΕΙΣ ΣΑΜΨΩΝ ΣΥΣΣΕΙΟΝΤΑ ΤΗΝ ΟΙΚΙΑΝ, ΚΑΙ συμφονεύοντα ἑαυτὸν τοῖς ἀλλοφύλοις

Ἡβῶσι Σαμψῶν αἱ ξυρηθεῖσαι τρίχες Καὶ συνανηβᾷ τὸ κράτος τῆς ἰσχύος
Ἀλλ᾽ αἱ κόραι λείπουσιν ὢ τῆς ζημίας! Πλὴν καὶ τυφλώττων ἀμύνεται τὸν (φθόνον

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παίγνιον ἀλλοφύλοισι πίνουσι προήλυθε Σαμψῶν,
Στῆ δὲ παρὰ σαθμῷ κίονας δ᾽ ἕλε χερσὶ δοιούς,
Σεῖσε δ᾽ ἑλών, πρὸ δ᾽ ἅπας χαμάδις πέσεν ἄπλετος οἶκος,
Σὺν δέ τ᾽ ἄρ᾽ ἀλλοφύλοις αὐτὸν κατέπεφνε φονῆα.

ΕΙΣ ΡΟΥΘ ΤΗΝ ΜΩΑΒΙΤΙΝ, Η, ΤΟΥ ΙΣΡΑΗΛΙΤΟΥ ἀνδρὸς αὐτῆς θανόντος κριθολογοῦσα, ἔτρεφε τὴν πενθερὰν αὐτῆς Νοομμίν

Γυνὴ Νοομμὶν ἀνδρὶ καὶ τέκνοις ἅμα Συνεκφυγοῦσα πρὸς πόλιν Μωαβίτιν
Τοῖς παισὶ καλὰς νυμφαγωγεῖ παρθένους Ὑποτρέφει δὲ σὺν μόνῃ τῇ Ῥοὺθ (μόνη

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Παῖδες ἐμοὶ τίνα τήνδ᾽ ὁρόωμεν κριθολογοῦσαν
Κούρην; αὐτὰρ ἐμῷ θυμῷ κεχαρισμένα ῥέζει.
Μωαβίτις τὸ γύναιον, ἔβη δ᾽ ἄρα σύν τε Νοομμίν.
Ἣν καὶ ἐ Ῥοὺθ καλέει νύμφη δὲ οἱ εὔχεται εἶναι.

ΕΙΣ ΒΟΟΖ ΜΙΓΝΥΜΕΝΟΝ ΤΗ ΡΟΥΘ, ΚΑΙ ΓΕΝΝΩΝΤΑ ἐξ αὐτῆς Ὠβὶδ τὸν πάππον Δαβίδ

Ὡς εἰς ἀγαθὸν τὰς κριθὰς Ῥοὺθ συλλέγεις, Εἴπερ δι᾽ αὐτῶν τοῦ Βοὸζ γυνὴ γίνῃ.
Χριστοῦ προμήτωρ ἀθρόον δεδειγμένη Καὶ γὰρ τὸν Ὠβὶδ τὸν Δαβὶδ πάππον τέ(κῃς

ΕΙΣ ΤΟ ΑΥΤΟ

Τίς ποτ᾽ ἄρ᾽ ἦσθα γύναιον ἐμοῦ ποδὸς ἄγχι πεσοῦσα
Νύκτα δι᾽ ὀρφναίην; Ῥοὺθ ἤδ᾽ ἐγὼ ἀμφί σε κεῖμαι.
Ἣ χθὲς ἐπ᾽ ἀσταχύεσσι τεοῖσι κριθολογεῦσα
Χαῖρε φίλον κάρα, χαῖρε, Θεὸς δέ σοι ὄλβια δοίη.

ΒΑΣΙ-

SISMANOGLIO MEGARO



# ΒΑΣΙΛΕΙΩΝ Α΄.

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΣΑΜΟΥΗΛ.

Παῖδας μὲν ἔσχεν ἡ Φενάννα μυρίους, Ἡ δ᾽ Ἄννα καρπὸν κοιλίας στεῖρα οὐκ εἶχε
Πλὴν ἀφανὴ μὲν τῆς Φενάννης τὰ βρέφη, Ἄννης δ᾽ ὁ καρπὸς ἐμφανὴς καὶ προ(βλέπων.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐλκανά τις ποτ᾽ ἀνὴρ δυσὶ μίσγετο θηλυτέρῃσι.
Τῇ μὲν ἀπειροτόκῳ τῇ δ᾽ αὖτ᾽ ἀτόκῳ γεγαυίᾳ.
Ἥ τις ἔα καὶ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔχεσκε·
Λισσομένη δὲ Θεὸν παιδὸς πέρι, τίκτε Σαμουήλ.

ΕΙΣ ΤΗΝ ΕΚ ΒΡΕΦΟΥΣ ΘΕΩ ΚΑΘΙΕΡΩΣΙΝ ΣΑΜΟΥΗΛ.

Βλέπων Σαμουὴλ καὶ βλεπόντων ἀκρότης Θεὸς διδοῖ σε καὶ Θεός σε λαμβάνει.
Διδοῖ μὲν υἱόν, οἰκέτην δὲ λαμβάνει. Υἱὲ προσευχῆς, ἁγιώτατον βρέφος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Νηδύος ἐξ ἀγόνοιο κλυτὸς γόνος ἦλθε Σαμουήλ.
Οὐδ᾽ ἄρα ἡ γενέτειρα Θεουδέων συνθεσιάων
Λήθετο ἃς σιγόωσα Θεῷ περὶ δακρυτ᾽ ὑπέστη.
Αὐτίκα δ᾽ ἐκ μήτρης τόν οἱ ὤπασεν ἁγνὸν ἱερῆα.

ΕΙΣ ΟΦΝΕΙ, ΚΑΙ ΦΙΝΕΕΣ, ΟΙ ΕΚ ΘΥΣΙΩΝ ΠΡΟΑΠΟΓΕΥΟΜΕΝΟΙ, ἐκίνησαν τὸν Θεὸν εἰς ὀργὴν κατὰ Ἠλεὶ τοῦ πατρὸς αὐτῶν

Υἱοὶ μιαροὶ πατρὸς ἱερωτάτου, Ὀφνεὶ πονηρέ, Φινεὲς κακεργάτα,
Ἀνθ᾽ ὧν συλᾶτε τῶν θυσιῶν τὰ κρέα, Ἔργον μιᾶς γένησθε πικρᾶς ἡμέρας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Υἱέε δυσίερω φυτοσπόρου ἀρχιερῆος,
Κῆρ᾽ ὀλοὴν κεδάσαντο ἑοῦ κατὰ πατρὸς ἄνωθεν.
Οὕνεκα θυσιάων ἀποδαίνυντο, κρεάγρην
Χύτρηφι τριόδοντα καθιέντες, ἄθλιοι ἀνδρῶν.

ΕΙΣ ΣΑ-

ΕΙΣ ΣΑΜΟΥΗΛ ΚΑΛΟΥΜΕΝΟΝ ΝΥΚΤΟΣ ΠΑΡΑ ΘΕ-
ΟΥ. καὶ ἀγνοοῦντα τίνι καλοῖτο.

Ὁρᾷς ὁράσεις Σαμουὴλ τοῦ παιδίου. Θεῷ καλεῖται πρὸς τὸν Ἠλεὶ δὲ τρέχει.
Ἐκεῖθεν εἶναι προσδοκήσας τὸν λόγον. Κἂν ὕστερον δέδορκε τὸν κεκληκότα.

ΕΙΣ ΤΟ ΑΥΤΟ

Τρίς σε Θεὸς ἐκάλεσσε Σαμουὴλ οὐδέ μιν ἔγνως,
Ἠλεὶ γὰρ καλέειν σε τρὶς ἔλπεο τὸν ἱερῆα,
Τέτρατον αὐθ' ἐκάλεσσε Θεοῦ στόμα, καί μιν ἐπέγνως,
Καὶ μάθες ἄσσα τέλος κατὰ ὕστατον ἔλλαβεν ἦμαρ.

ΕΙΣ ΤΗΝ ΤΗΣ ΚΙΒΩΤΟΥ ΑΙΧΜΑΛΩΣΙΑΝ, ΚΑΙ
τὸν θάνατον Ἠλεί

Ὡς ἡμερῶν σὺ κακοδαιμονεστάτη Ἐν ᾗ συνωλόθρευσεν ἐθνικὸν ξίφος
Σεπτὴν Κιβωτὸν, σεμνὸν ἀρχιερέα, Καὶ δυσάριθμον ὄχλον Ἰσραηλιτῶν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὤφελες ὦ κακόδαιμον ἄπαις καὶ ἄτεκνος ὀλέσθαι
Ἠλεὶ μηδὲ τεκεῖν ὀλοόφρονε καμμορε παῖδε,
Ὧν διὰ χώσατ' ἄναξ ὑψίθρονος, ἡ δὲ Κιβωτὸς
Ἔθνεσιν ἐξεδόθη δίφρου δὲ σὺ ἔκπεσες ἄπνους.

ΕΙΣ ΔΑΓΩΝ ΤΟΝ ΘΕΟΝ ΑΖΩΤΙΩΝ ΠΙΠΤΟΝΤΑ
πρὸ προσώπου τῆς κιβωτοῦ.

Ἄζωτε φρῖξον τοῦ Δαγὼν πεπτωκότος, Καὶ πρὸ προσώπου τῆς Κιβωτοῦ κειμένου,
Ὡς οἷα προσκυνοῦντος αὐτὴν ἔντρομως. Καὶ τῆς Κιβωτοῦ τὸν Θεὸν Θεὸν συνες.

ΕΙΣ ΤΟ ΑΥΤΟ

Ἄνδρες ἀπ' Ἀζώτοιο προπέμπετε τήνδε Κιβωτὸν,
Ἣν Δαγὼν τρομέων χαμάδις πέσε γυῖα δὲ λύθη,
Πέμπετε, ἢ γὰρ ἕδρῃσιν ἐπιζέσει ἕλκος ὑμῆσι,
Μυῶν τ' ἔθνεα πυκνὰ ἐνιπλήσουσιν ἀρούρας.

ΕΙΣ ΤΟ ΓΗΡΑΣ ΣΑΜΟΥΗΛ ΚΑΙ ΟΠΩΣ ΗΤΗΣΑΝΤΟ
ἑαυτοῖς βασιλέα οἱ Ἑβραῖοι

Γηρᾷ Σαμουὴλ. Ἰσραὴλ δὲ τὴν κρίσιν Οἱ παῖδες αὐτοῦ λαμβάνουσιν οἱ δύω.
Πλὴν τοὺς πατρικοὺς οὐ μιμούμενοι τρόπους. Ἀποξενοῦνται τῆς λαχούσης ἀξίας.

ΕΙΣ

SISMANOGLIO MEGARO



ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄφρονες Ἑβραῖοι ἀτάσθαλε μωρὰ γενέθλη,
Κοίρανον ἀμφαφόωσα βροτοῦ παῖν ἀντὶ Θεοῖο.
Ὅς σεο μοῦνος ἄνασσεν, ὅλων βασιλεύτερος ἄλλων·
Ὡς ποτε ὑστατίην ἐπιμηθέα σύνεσιν ἕξεις.

ΕΙΣ ΤΗΝ ΒΑΣΙΛΕΥΣΙΝ ΣΑΟΥΛ.

Τὸ σὸν Σαοὺλ πάρεργον ὡς ἔργον μέγα, Τὸ δ' ἔργον ὡς πάρεργον ἐξ ἀντιστρόφου.
Πλανωμένας ὡς ἔργον ἐκζητεῖς ὄνους, Καὶ βασιλείαν ὡς πάρεργον λαμβάνεις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὀλλυμένας ποτ' ὄνους διζήμενος ἥ που ἔφυρο
Πατρὸς ἑοῦ μέγ' ἄελπτον ἀπὸ κράτος ἔλλαβε Σαοὺλ.
Ξεῖνε τεοῖς γονέταις ἐπιπείθεο, καί σφιν ὑπέργει.
Καὶ τάχα καὶ σὲ Θεὸς λαμπρὸν βασιλῆα ποιήσει.

ΕΙΣ ΤΟ ΕΙΔΟΣ ΣΑΟΥΛ, ΚΑΙ ΟΠΩΣ ΤΟΥΣ
Ἀμμανίτας ὠλόθρευσεν.

Εἰς πρῶτον εἶδος ἄξιον τυραννίδος. Ὑπὲρ Σαοὺλ τίς ἄξιος τυραννίδος;
Σαοὺλ ἐκεῖνον τὸν μέγαν, τὸν ὠμίαν, Τὸν εὐπρόσωπον, τὸν καλὸν τὴν ἰδέαν;

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς θ' ὅδ' ἀνὴρ ὑπερήλιξ, εὐρύτατοι δέ οἱ ὦμοι;
Ἀμμανίτην δ' ἀπόλυσε πολὺν καὶ ἀπείρονα λαὸν.
Κοίρανος Ἑβραίης ὅδ' ἄρ' ἔπλετο λωστε γενέθλης.
Κὶς δέ μιν ἐξεφίτυσσε, φίλον δέ οἱ οὔνομα Σαοὺλ.

ΕΙΣ ΙΩΝΑΘΑΝ ΟΠΩΣ ΜΟΝΟΣ ΕΠΙΔΡΑΜΩΝ ΤΟΙΣ
ἐχθροῖς καὶ τρέψας αὐτοὺς εἶτα κηρυχθείσης νηστείας,
γευσάμενος μέλιτος, ἐκινδύνευεν ἀποκτανθῆναι.

Ὢ τόλμα τόλμα καρδίας Ἰωνάθαν! Μόνος προσορμᾷ βαρβάρων μυριάσι,
Καὶ σὺν Θεῷ τοὺς πάντας εἰς φυγὴν τρέπει. Εἰ καὶ θανατᾷ βρώσεως μικρᾶς (χάριν.

ΕΙΣ ΤΟ ΑΥΤΟ

Ὅς μόνος ἀλλοφύλοισιν ἐπέσσυτο ἠΰτε τὶς θὴρ,
Νῦν μέλεος θανάτοιο, Ἰωνάθαν ἀντίος ἥκει.
Οὕνεκ' ἐπ' ἀσιτίηφι φάγον μέλι ὢ μέλι πικρὸν.

Οὐδ'

Οὐ δὲ πατήρ οἱ ἄρηξε. πρόπας δέ ἐ λύσατο λαός.

ΕΙΣ ΤΗΝ ΣΦΑΓΗΝ ΑΓΑΓ, ΟΝ ΣΩΘΕΝΤΑ ΤΩ ΣΑΟΥΛ
παρὰ τὴν Θείαν κέλευσιν, ἀπέκτεινε Σαμουήλ.

Κἂν τοῦ Σαοὺλ τὰς χεῖρας ἀπέδρας Ἄγαγ, Ὁ παμμίαρος Ἀμαληκίτης ἄναξ,
Ἀλλ' ὁ Σαμουὴλ τὴν μάχαιραν ἐκφύγῃς, Τὴν πικρίαν δὲ τῆς θανῆς κτανθεὶς

ΕΙΣ ΤΟ ΑΥΤΟ. (μαθὴς

Τίπτε Σαοὺλ μεγάλοιο Θεοῦ ἀπέωσας ἐφετμάς;
Ἐν δ' Ἄγαγ ἐξεσάωσας Ἀμαληκίτην βασιλῆα,
Οὐδ' ἀπεδειροτόμησας; ἀτὰρ σ' ὁ δειροτομήσει
Κοιρανίην Κύριος· Ἄγαγ δ' ὀλέσσει Σαμουήλ.

ΕΙΣ ΔΑΒΙΔ ΜΟΝΟΝ ΤΩΝ ΑΔΕΛΦΩΝ ΑΥΤΟΥ
προκριθέντα εἰς βασιλείαν.

Χρίει Σαμουὴλ τὸν Δαβὶδ βασιλέα, Καὶ πνεῦμα τῷ χρισθέντι σεπτὸν προσπνέει.
Σαοὺλ ἀποστὰν τοῦ κεκατηραμένου, Αὐτὸν δε μᾶλλον μιαρὸν πνεῦμα πνίγει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐ μέγεθός τε, βίη τε, φυή τ' ἀγαθόν τε πρόσωπον.
Οὐδὲ πρωτοτοκίη ἀρείων ὀψιτοκίης
ἀμφὶ Θεῷ· κραδίην γὰρ ὁ δίζεται, οὐδέ τε σῶμα·
Δέρκεο, Δαβὶδ ἄνακτα τὸν ἐν ποίμνῃσι πονεῦντα.

ΕΙΣ ΤΟ ΠΟΝΗΡΟΝ ΠΝΕΥΜΑ ΤΟ ΠΝΙΓΟΝ ΣΑΟΥΛ,
ὃ τῇ Δαβὶδ κιθάρᾳ ἡσύχαζεν.

Ἐναντίωσιν ὧδε πνευμάτων βλέπε, Τὸ μὲν προφήτην τὸν Κὶς υἱὸν δεικνύει
Τὸ δ' αὐτὸν ἄγχει, ἢ πιέζει ἢ πνίγει. Μὴ τοῦ πνίγοντος, ὦ τριάς, πεῖραν

ΕΙΣ ΤΟ ΑΥΤΟ. (λάβω

Πνεῦμα θεηγορέοντος ἀπέπτατο ἐκ σέο Σαοὺλ,
Οὕνεκα παμμεδέοντος ἐλήσαο συνθεσιάων·
Πνεῦμα δέ τοι κακίης μεταέπτατο, καί σε ἀπάγχει.
Καὶ τάχα κέν σε, τέλος, Δαβὶδ ἀπέπνιξ' ἀπεόντος.

ΕΙΣ ΤΗΝ ΣΦΑΓΗΝ ΓΟΛΙΑΘ.

Δαβὶδ ὁ ποιμὴν ὁ βραχὺς κατὰ χρόνον Κτείνει Γολιὰθ τὸν γίγαντα τὸν μέγαν
Τὸν ὁπλίτην ἄοπλος, ἐξ ἑνὸς λίθου. Τῷ δ' Ἰσραὴλ καύχημα γίγνεται μέγα.

ΕΙΣ ΤΟ



ΕΙΣ ΤΟ ΑΥΤΟ.

Βάρβαρος ἀλλοφύλοισι προέσσυτο, ἐκ δὲ καλεῖτο
Ἀνέρα μὲν μάχον εὖ εἰδότα δηϊοτῆτος,
Θαῦμα δ' ἰδέσθαι ἔην· μικρὸς δέ μιν ὤλεσε Δαβίδ,
Καὶ οἱ ὁ βληθεὶς κεῖτο μέγας μεγαλωστὶ τανυσθείς.

ΕΙΣ ΤΗΝ ΑΓΑΠΗΝ ΔΑΒΙΔ ΚΑΙ ΙΩΝΑΘΑΝ.

Τῆς ἀγαθῆς σου καρδίας Ἰωνάθαν! Τὸν παῖδα Δαβὶδ εἶδες ἠριστευκότα
Καὶ φίλον αὐτὸν ἔσχες αὐτῇ τῇ θέᾳ. Υἱὸς ἄνακτος τὸν ταπεινὸν ποιμένα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὐκ ἄρα ἐσθλὸς ἀνὴρ φλαύρῳ ἐπιμίσγεται ἀνδρί.
Ἐσθλῷ δ' ἐσθλὸς ἔοικε, κακῷ τε κακὸς, φίλος εἶναι.
Ἤ βλέπε τὸν δε φέριστον Ἰωνάθαν υἱέα Σαοὺλ,
Δαβὶδ τῷ δε φερίστῳ ὁμῶς φιλότητι μιγέντα.

ΕΙΣ ΔΑΒΙΔ ΛΑΒΟΝΤΑ ΜΕΛΧΟΛ ΤΗΝ ΘΥΓΑΤΕΡΑ
Σαοὺλ γυναῖκα, ἀνθ' οὗ ἤνεγκε πρὸς Σαοὺλ ἑκα-
τὸν ἀκροβυστίας ἀλλοφύλων.

Ἄγεις ἑκατὸν Δαβὶδ ἀκροβυστίας Τῷ σῷ βασιλεῖ συμπλακεὶς τοῖς βαρβάροις.
Καὶ τὴν ἐκείνου παγκάλην θυγατέρα Τὴν παῖδα Μελχὸλ εἰς γυναῖκα λαμβάνεις.

ΕΙΣ ΤΟ ΑΥΤΟ

Μελχὸλ ἀριστοπόσεια, Σαοὺλ θυγάτηρ βασιλῆος.
Ὥς ἄρα σῶν λεχέων ἐπιβήμενον εὗρεο ἄνδρα
Πάγχυ τεοῦ γονέος βασιλεύτερον. αὐτὰρ ἅπασα
Θηλυτέρη σε τέθηφ' ὑπὸ δ' ὄμματα βάσκανα βάλλει.

ΕΙΣ ΤΟΝ ΦΘΟΝΟΝ ΣΑΟΥΛ ΤΟΝ ΕΙΣ ΔΑΒΙΔ.

Τί γὰρ παρανήσαντι τῷ Δαβὶδ λέγε Σαοὺλ πονηρὲ δυσμεναίνεις κρυφίως;
Καὶ ταῦτα γαμβρῷ τυγχάνοντι γνησίῳ, Καὶ τοῦ κακοῦ σε πνεύματος λυτρουμέ-

ΕΙΣ ΤΟ ΑΥΤΟ. (νῳ

Τίπτε Σαοὺλ κακόμητι κακὸν κάρα, δύσθεα ἔρξεις;
Τίπτε λυγρὴν πραπίδεσσι τεῆς πέρι μῆτιν ὑφαίνεις;
Δαβὶδ ἀποκτενέειν μεμαὼς τὸν ὁμόζυγα Μελχόλ;
Οὔ μιν ἀποκτανέεις, ἐπεὶ οὔ τοι μόρσιμος ἐστιν.

ΕΙΣ ΔΑ-

ΕΙΣ ΔΑΒΙΔ ΦΕΥΓΟΝΤΑ ΕΚ ΠΡΟΣΩΠΟΥ ΣΑΟΥΛ, προπεμπούσης αὐτὸν τῆς Μελχόλ.

Ναὶ σῴζε σου τὸν ἄνδρα Μελχὸλ ἐνδίκως, Βουλὰς δὲ πατρὸς ἀχύρου τὰς ἀδίκους
Ναὶ φεῦγε Δαβὶδ τοῦ Σαοὺλ τὴν μανίαν, Καὶ πρὸς Σαμουὴλ σπεῦδε τὸν χρί
(σαντα σε

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δαβὶδ ὅ δ' ἐκ θυρίδος καταπέμπεται, ὀνδε οἱ ἦτορ
Πάλλεθ' ὑποτρομέοντι Σαοὺλ κοτον, ἀλλὰ καὶ ἔμπης
Γούνασι κραιπνοποροισι περᾶ σίβον, ἔργα τα Μελχόλ
Τοιη απαντι δάμαρ ἀνὰ ξυνὰ δέμνια βαίνοι.

ΕΙΣ ΔΑΒΙΔ, ΟΠΩΣ ΦΕΥΓΩΝ ΑΟΠΛΟΣ, ΗΠΑΤΗΣΕΝ αβιμελεχ τὸν ἱερεα καὶ ἔλαβε παρ' αὐτοῦ αρτον, καὶ ξίφος

Ἀβιμέλεχ δέδεξο τὸν Δαβὶδ μόνον Ἀπὸ προσώπου τοῦ Σαοὺλ πεφευγότα.
Καὶ δὸς μὲν ἄρτον, δὸς δὲ καὶ τέμνον ξίφος, Ὡς ἂν φαγὼν χρήσαιτο καλῶς
(τῷ ξίφει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὧ ποτ' ἀπὸ πτολέμοιο νεήλυδι τὰς μυριαδας
Παρθενικαὶ χαρίσαντο. Σαοὺλ δέ τε τας χιλιαδας.
Οἷος ὅ δ' ἄρτι πρόσεισι τῷ Ἀβιμελεχ ἱερῆϊ.
Ὅς δέ οἱ ἄρτον ἔδωκε καὶ ὀξυόοντ' ἀκινάκην.

ΕΙΣ ΔΑΒΙΔ ΕΜΒΑΛΟΝΤΑ ΤΗ ΓΕΘ ΠΟΛΕΙ ΚΑΤΑ ΤΗΝ ΦΥΓΗΝ, εἶτ' ἐπεὶ ἐγνώσθη τοῖς ἐκεῖ, τρεψαντα ἑαυτὸν εἰς ἐπίληπτον, καὶ οὕτως ἀπολυθεντα.

Φεύγων ὁ Δαβὶδ τῇ Γὲθ ἐμβαλλεις πολει.
Γνωσθεὶς δὲ σαυτὸν εἰς μελαγχολον τρέπεις.
Ἄσημα φωνεῖς, καὶ τὸν ἀφρὸν ἐκπτύεις.
Τῶν τῆς ἀνάγκης ποικίλων σοφισμάτων!

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὤσατε τὸν δ' ἐπίληπτον ἀπὸ σταθμοῖο θυράων
Παῖδες ἐμοί δεινος μοι ἐν ὀφθαλμοῖσιν ὁρᾶται
Κειμενος ἐν δαπέδῳ, σιελοι δέ μιν ἀμφικέχυνται
Χείλεος ἐκπιδύοντες, ἀτὰρ γ' ασχημονα πασχει.



SISMANOGLIO MEGARO



ΕΙΣ ΔΑΒΙΔ ΣΥΛΛΑΒΟΝΤΑ ΕΝ ΣΠΗΛΑΙΩ ΤΟΝ ΣΑΟΥΛ ΚΑΙ καταλιπόντα τῷ ἀποτεμόντι μικρὸν τῆς διπλοΐδος.

Σαοὺλ πνέει πῦρ κατὰ Δαβὶδ ἀδίκως, Καὶ Δαβὶδ αὐτὸν συλλαβὼν οὐ κτιννύει
Σῴζει δὲ μικρὸν ἐκτεμὼν τοῦ μανδύου. Τῆς χρηστότητος, τῆς ἀνεξικακίας!

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σπείει ἐνὶ γλαφυρῷ φεύγων προελήλυθε Δαβίδ.
Αὐτὰρ ὅ οἱ κοτέων ἐπελήλυθεν ὕστερα Σαούλ,
Οὐ δέ μιν εἰσενόησε, νόησε δὲ Δαβὶδ ἐκεῖνον,
Οὐδ' ἔκτεινε νοήσας, τμῆμα δ' ἀφείλετο πέπλου.

ΕΙΣ ΤΗΝ ΘΑΝΗΝ ΣΑΜΟΥΗΛ.

Κεῖται Σαμουὴλ ὁ βλέπων νῦν οὐ βλέπων,
Τὴν μὲν σκοτωθεὶς τὴν κατ' αἴσθησιν κόρην,
Τὴν δὲ προφῆτιν σχὼν προφητικωτέραν. Θρηνεῖ δὲ τοῦτον οἶκος Ἰσραὴλ ἅπας.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καί σε βίη θανάτοιο βιήσατο δῖε Σαμουήλ,
Καὶ σὺ μετὰ χθονίοισι τὸ μὲν τέλος εὕρεο πότμου.
Αὐτὰρ ἐγώ σ' ἀθάνατον ἐνὶ φρεσὶν ἧσιν ἀώμων.
Οὐδ' ἀθάνατος ἔης, θάνες δέ τε καὶ σὺ Σαμουήλ.

ΕΙΣ ΑΒΙΓΑΙΑΝ ΤΗΝ ΓΥΝΑΙΚΑ ΝΑΒΑΛ, ΗΤΙΣ ΟΡΓΙΖΟΜΕΝΟΝ κατὰ τοῦ ἀνδρὸς αὐτῆς τὸν Δαβὶδ δώροις ἡμέρωσε, καὶ ὕστερον γυνὴ Δαβὶδ γέγονεν.

Ἄνερ πονηρὲ τῆς Ἀβιγαίας Νάβαλ, Ὡς εὐχαρίστει τῇ γυναικὶ μυρία.
Δι' ἧς σέσωσαι τὴν Δαβὶδ φυγὼν σπάθην, Κἂν αὖ τε θανάτησας οὐ μακρῷ
(χρόνῳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀθρεῖς τήνδ' ἐπ' ὄνου βεβαυῖαν ξεῖνε γυναῖκα;
Ἀθρῶ, ἀτὰρ τί οἱ ὄνομ'; οὔνομά οἱ Ἀβιγαῖα,
Οὕνεκα δ' ἀνδρὸς ἑοῖο λιτάζεται, οὐδ' ἀφάμαρτε.
Μικρὸν ὅσον δὲ δάμαρ κληθήσεται, οὗ πεπνυται.

ΕΙΣ ΔΑΒΙΔ, ΟΠΩΣ ΜΟΝΟΣ ΠΡΟΒΑΛΩΝ ΤΩ ΣΑΟΥΛ κοιμωμένῳ, οὐκ ἀπέκτεινεν αὐτόν.

Δαβὶδ τί μέλλεις; τί βραδύνεις τὸν φόνον; Ἰδοὺ τὸν ἐχθρὸν ἐν χερσὶν λαβὼν ἔχεις.

Μὴ γὰρ ὁπλισθῶ κατὰ χριστοῦ Κυρίου. Τῆς πρᾳότητος, τῆς ἀμνησικακίας!

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὦ μέγα τολμῆεν, θρασυκαρδιώτατε Δαβίδ,
Μοῦνος ἐπ' ἀντιβίων μεγαπληθέα ἔρχεαι ἐσμὸν,
Μοῦνος, μηδὲ Σαοὺλ πέρι δειδίας ἐχθρῷ ἀλάστῳ;
Δείδια, πλὴν μοι χεῖρες ἀρηγόνες εἰσὶ Θεοῖο.

ΕΙΣ ΣΑΟΥΛ ΔΕΟΜΕΝΟΝ ΤΗΣ ΕΓΓΑΣΤΡΙΜΥΘΟΥ,
ἀνενεγκεῖν αὐτῷ τὸν Σαμουήλ.

Ὁ χθὲς προφήτης, καὶ λαλῶν τῷ Κυρίῳ, Ἐγγαστριμύθῳ νῦν λαλεῖς γραϊδίῳ.
Ὁ τὸν Σαμουὴλ ζῶντα μὴ ζητῶν βλέπειν, Ζητεῖς βλέπειν θανόντα; τῆς ἐμπληξίας!

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὄρθιος ἐξ Ἀΐδαο βλέπων ἀνάεισι Σαμουήλ,
Θηλυτέρη γάρ μιν βιήσατο νερτερόμαντις·
Λυγρὰ δὲ θέσφατ' ἔειπε Σαοὺλ ἀδίκῳ βασιλῆϊ,
Τῶν δέ κεν ὡς κατάκουσε Σαοὺλ, φίλα γούνατα λῦτο.

ΕΙΣ ΤΟΝ ΘΑΝΑΤΟΝ ΣΑΟΥΛ ΚΑΙ ΤΩΝ ΤΕΚΝΩΝ ΑΥΤΟΥ.

Ὁρᾷς τὸ τέρμα τοῦ κακῶς ζῶντος, ξένε; Συσφάττεται μὲν τοῖς ἑαυτοῦ τεκνίοις,
Κορώνυται δὲ καὶ θανὼν πλατοῦς γέλω· Τὰ τοῦ Σαοὺλ ἔνδικα φημί σοι πάθη.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Σχαιὲ Σαοὺλ, τάδε τοι κακίης ἐπίχειρα μυρίης,
Πότμος ἐν ἀλλοφύλοισι μετὰ τρισσοῖς τεκέεσσι.
Τῶν ἐγὼ οὔτινα ἄλλον, Ἰωνάθαν δ' ὀλολύζω
Μοῦνον, ὁ γὰρ ζωὸς Δαβὶδ περιφίλατο ἄλλων.

# ΒΑΣΙΛΕΙΩΝ Β.

ΕΙΣ ΤΟΝ ΕΠΙ ΣΑΟΥΛ, ΚΑΙ ΙΩΝΑΘΑΝ ΘΡΗΝΟΝ ΔΑΒΙΔ.

ΝΑὶ τὸν φίλον μὲν δακρύεις Ἰωνάθαν, Τὸν δ' ἐχθρὸν, εἰπὲ, πῶς θανόντα δακρύεις;
Ἄναξ γὰρ ἦν, ἄνθρωπε, χριστὸς Κυρίου.
Τῆς συμπαθοῦς σου τοῦτο Δαβὶδ καρδίας!

ΕΙΣ

SISMANOGLIO



ΕΙΣ ΤΟ ΑΥΤΟ.

Γελβουὲ σκιόωντα κατ' οὔρεα μήποτε ὄμβρος
Αἰθερόθεν προπέσοι μηδὲ ψεκὰς ἔνδροσος ἔλθοι,
Οὕνεκα τοῖς ἐνὶ πικρὸς Ἰωνάθαν ἔλλαβε πότμος.
Δουρὸς ἀπ' ἀλλοφύλων κατὰ κρατερὴν ὑσμίνην.

ΕΙΣ ΑΒΕΝΝΗΡ ΤΟΝ ΑΡΧΙΣΤΡΑΤΗΓΟΝ ΣΑΟΥΛ, ΟΣ ΑΠΟΚΤΕΙΝΑΣ Ἀσαὴλ τὸν ἀδελφὸν Ἰωὰβ, ἔπειτα σπενδόμενος τῷ Δαβὶδ, ἐφονεύθη ὑπὸ Ἰωάβ.

Κτείνεις Ἀβεννὴρ Ἀσσαὴλ, ἀλλ' ἐν μάχῃ, Τούτου δ' ἀδελφὸς ἐν δόλῳ σε κτιννύει.
Δαβὶδ στρατηγὸς τὸν Σαοὺλ στρατηγέτην, Τῆς φύσεως γὰρ ἐκδικεῖ τὴν αἰσχύνην.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ' ὁ κλαυθμὸς ὄρωρε μεγάφονος; ἐνδὲ βασιλεὺς
Στείχει δακρυχέων, αὐχὴν δέ οἱ ἐς χθόνα νεύει;
Δαβὶδ ὅ δ' ἐστονάχισε λυγρῷ περὶ πότμῳ Ἀβεννήρ.
Ὃν ῥα χολωσάμενος περὶ κάσει πέφνεν Ἰωάβ.

ΕΙΣ ΙΕΒΟΣΘΕ ΤΟΝ ΥΙΟΝ ΣΑΟΥΛ, ΟΠΩΣ ΤΗΣ ΘΥΡΩΡΟΥ αὐτοῦ νυσταξάσης εἰσῆλθέ τις ἐχθρὸς, καὶ ἀπέκτεινεν αὐτόν.

Ὁ Ἰεβοσθὲ τοῦ Σαοὺλ τὸ παιδίον, Ἄρξας ἀδίκως τοῦ πατρὸς τεθνηκότος,
Ἐκ τῆς Ἀβεννὴρ τοῦ φίλου συνεργίας, Νῦν γοῦν ὑπέσχον ἐνδικώτατον φόνον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μήποτε νυσταλέην νοὸς ἐνδοτέρῃσι θύρῃσιν,
Ἐνστήσῃς πυλαωρὸν, ἃ γὰρ τάλαν, αὐτίκα δαίμων
Τήνδε λαθών σε φίλα ἀπὸ καρήατ' ἀμέρσει.
Μάρτυς ὁ Ἰεβοσθὲ φίλην κεφαλὴν ἀπολέσσας.

ΕΙΣ ΤΗΝ ΒΑΣΙΛΕΥΣΙΝ ΔΑΒΙΔ.

Τὸν ἥμισυν χθὲς Ἰσραὴλ βασιλέα, Τὸν ἥμισυν χθὲς, νῦν ὁλόκληρον βλέπε.
Αὐτοπροαιρέτως γὰρ Ἰσραὴλ ἅπας Εἰς αὐτὸν ἥκει, τοῦ Σαοὺλ τεθνηκότος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μείρακα μέν σε Σαμουὴλ, Δαβὶδ, ἔχρισσεν ἄνακτα.
Πλὴν τριακονταέτηρος ὅλης ἐπέβης βασιλείης.

Χριστοῦ

Χρισοῦ ἄρ' ἧς τύπος, ὃς τριακοσίῳ ἐνὶ κύκλῳ
Ἠελίου, μέγα κάρτος ἑῆς ὑποδείξατο ἀλκῆς.

ΕΙΣ ΟΖΑΝ ΤΟΝ ΑΨΑΜΕΝΟΝ ΤΗΣ ΚΙΒΩΤΟΥ ΑΝΑ-
ξίως, καὶ ἐκ τοῦ παραχρῆμα θανόντα.

Ἐν τῇ Κιβωτῷ τοῦ Θεοῦ τόσον σέβας, Ὡς καὶ τὸν Ὀζὰν ἐξ ἀφῆς θανεῖν μόνης
Τῷ τῆς Κιβωτοῦ Δεσπότῃ πόσον σέβας; Φρίξωμεν οἱ πρόσιμεν οὐ πρὸς ἀξίαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μή ποτ' ἐπ' εὐαγέεσσιν ἀναγέα δάκτυλα βάψῃς.
Τῆμος γὰρ θανάτου ὀλοὴν περιδείδιθι κῆρα,
Ἦμος ἀφὴν πετάσεις, καὶ ἅψεαι, ὧδε καὶ Ὀζὰν
Ὤλετο, θειοτέρην ἐπὶ κίστην δάκτυλα τείνας.

ΕΙΣ ΤΟΝ ΔΑΒΙΔ ΠΡΟΟΡΧΟΥΜΕΝΟΝ ΤΗΣ ΚΙΒΩΤΟΥ.

Εἴ τις βροτοῖς ὄρχησίς ἐστιν ἀμύμων, Ἡ τοῦ Δαβὶδ ὄρχησίς ἐστιν ἀμύμων.
Ὀρχούμενος γὰρ τῆς Κιβωτοῦ προτρέχει, Ἀνατρεχούσης εἰς τὸν ἀρχαῖον τόπον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μελχὸλ ἀριστοπόσεια τί μέμφεαι ᾧ παρακοίτῃ;
Οὕνεχ' ὑπὲρ κίστης ἱερῆς περὶ κόρδακα παίζει;
Οὔ τι κακὸν τόδε ῥέζει, οὐδ' ἀπρεπὲς βασιλῆϊ,
Χαρᾶς θειοτέρης δὲ τρανὲς σάφα δείκνυσι σῆμα.

ΕΙΣ ΜΕΜΦΙΒΟΣΘΕ ΥΙΟΝ ΙΩΝΑΘΑΝ, ΟΝ ΧΩΛΟΝ ΟΝΤΑ
ὁμόσιτον ἑαυτοῦ ἐποίησεν ὁ Δαβὶδ διὰ τὸν πατέρα αὐτοῦ.

Δαβὶδ τὸν ὅρκον, καὶ θανὼν Ἰωνάθαν Ἰδοὺ δι' ἔργων τερματούμενον βλέπε.
Μεμφιβαὰλ γὰρ παῖδα σὸν τὸν κυλλόπουν, Ὁμοτράπεζον ἐν βασιλείοις ἔχει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μεμφιβαὰλ τρισάλαστε ταλάντατε κυλλοπόδιον
Ἐσθλοῦ εἵνεκα πατρὸς ὁμόθρονος αὐτῷ ἄνακτι
Ἵζεο, καὶ σύσσιτος ἐπὶ ξυνὸν ἔρχεο δεῖπνον.
Ὅρκος γὰρ Δαβίδ, καὶ Ἰωνάθαν ἔλλαβε τέρμα.

ΕΙΣ ΤΗΝ ΕΙΣ ΒΗΡΣΑΒΕΕ ΜΟΙΧΕΙΑΝ ΔΑΒΙΔ,
καὶ τὸν φόνον Οὐρίου.

Ὡς ἀπόλοιτο πᾶς γάμος καὶ πᾶν λέχος, Κακὴν γαμεῖς, ποίνιμον εὑρήσεις βίον

Κα-



Καλὴν γαμεῖς, θάνατον ἀντικερδάνῃς. Τὸν Οὐρίου θάνατον, εἰ βούλει σκόπει.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Θηλυτέρη ποτ' εὔχροος πλύνετο ἀμφὶ λοετρῷ.
Ὄμμασι κρυφαίοις δὲ Δαβίδ μιν ἔειδε προκύψας.
Καὶ βάλεν ἐς κραδίην, ἀνὰ δὲ ξυνὰ δέμνια κλίνθη.
Τὸν δ' ἄρα οἱ λεχέων ἐπιβήμονον Οὐρίαν ἔκτα.

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΣΑΛΟΜΩΝ.

Θέλεις ἰδεῖν γέροντα νήπιον βρέφος, Τὸν Σαλομῶν, ἄνθρωπε, τεχθέντα βλέπε.
Γηρᾷ γὰρ εἰς φρόνησιν αὐτῷ τῷ τόκῳ, Ὡς τὴν σοφίαν ἐκ Θεοῦ δεδεγμένος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Βηρσαβεὲ χθὲς ἔκλαες ἐφ' υἱεῖ πρεσβυγενέθλῳ
Οὕνεκά οἱ θανάτου σκοτόεν νέφος ὄσσε κάλυψε.
Σήμερον αὖ τε χόρευσον ἐφ' υἱεῖ λοισθογενέθλῳ,
Τὸν Σαλομῶν ἐκάλεσσας, ἀτὰρ βασιλεύτατος ἔσται.

ΕΙΣ ΑΜΩΝ ΓΗΜΑΝΤΑ ΤΗΝ ΕΑΥΤΟΥ ΑΔΕΛΦΗΝ.
καὶ ὑπ' Ἀβεσαλὼμ ἀποκτανθέντα.

Καλῶς σοφίζῃ τὸν μεμαλακισμένον, Ἀμὼν πονηρέ, καὶ νοσεῖν ὑποκρίνῃ·
Νοσεῖς γὰρ ὄντως τὴν ἐρωτικὴν νόσον, Ἣ καὶ καταστρέψει σε πολλῷ τῷ τάχει

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Συγγονέων λεχέων ἐπιβαίνεις ἄθλιε Ἀμών,
Οὐδὲ φύσιν τρομέων, οὐδ' ἄλκιμα δάκτυλ' ἀδελφοῦ
Ἀβεσαλώμ· ὁ δέ σοι ἐπιχώσεται οὐκέτ' ἀνεκτῶς.
Ἀμφὶ ποτῷ μεσάτῳ δὲ χέρας τεῷ αἵματι δεύσει.

ΕΙΣ ΤΟ ΠΛΑΣΜΑ ΙΩΑΒ, Ο ΕΠΛΑΣΑΤΟ ΕΠΙ ΤΩ
συμπαθηθῆναι Ἀβεσαλὼμ ὑπὸ Δαβίδ.

Χαίροις Ἰωὰβ τοῦ σοφίσματος χάριν, Δι' οὗ λέλυκας Ἀβεσαλὼμ τῆς πλάνης.
Κἂν τὴν πατρικὴν ἰδέαν οὔπω βλέπῃ Μὴ τοῦ θυμοῦ σβεσθέντος ἀκμὴν εἰς τέλος

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀβεσαλὼμ ποτ' ἔπεφνεν ἑὸν κάσιν· ἐκ δ' ἄρα πατρὸς
Ἔκφυγε χωομένου, τὸν δ' ἄρ' ἐλέησεν Ἰωάβ,
Χείλεσι δ' ἀλλοτρίοισι ἑοὺς ἐσοφίσσατο μύθους.

Καὶ

Καὶ πάλιν ἐς γονέταο τὸν υἱέα κάτθετο κόλπον.

### ΕΙΣ ΤΟ ΕΙΔΟΣ ΑΒΕΣΣΑΛΩΜ.

Ἀβεσσαλὼμ κάλλιςε τῶν μειρακίων, Καλὰ πρόσωπα, ϗ καλὰς αὐχεῖς τρίχας
Ἀλλ᾽ οὐχὶ καλὴν εὐτυχεῖς ϗ καρδίαν, Εἰ τοῦτο γὰρ ἦν, παντελῶς ἂν εὐτυχοῖς.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δεῦρό μοι ἐγγὺς ἰὼν Ἀβεσαλὼμ δέρκεο μῶμε.
Εἴ τί που ἡλικίην μωμήσεαι, ἢ δέμας ἅπαν,
Ἠὲ χέρας βριαρὰς, ἠὲ χρυσοῦς πλοκαμίσκους.
Οὔ μιν ἐγὼ μωμήσομ᾽, ἐπεὶ καλός ἐςιν ἰδέσθαι.

### ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΑΣΙΑΝ ΑΒΕΣΣΑΛΩΜ.

Ὃν ὠδίνες πρὶν. νῦν ἐγέννησας φθόνον Ἀβεσσαλὼμ ἄδικε, ϗ θήγεις ξίφος
Φεῦ· κατὰ πατρὸς, οὐδὲ γιγνώσκεις τόκα, Ὡς ἡ Θεοῦ χεὶρ ἰσχύει τῆς σῆς πλέον.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Καινότατος πολέμοιο ὅδε τρόπος, υἱὸς ἀποςὰς
Χεῖρα κινεῖ κατὰ πατρὸς, ὁ δὲ τρομέων ἀλεείνει
Οὔρεος ἐν βήσσαις, τὴν δὲ πτόλιν ἔλλαβε κεῖνος.
Αὐτὰ ὕπερθε Θεὸς τὸν ἀλάςορα ἐξεναρίζει.

### ΕΙΣ ΤΗΝ ΚΑΤΑΡΑΝ ΣΕΜΕΕΙ.

Ἐς σὴν κεφαλὴν ἡ κατάρα σου πέσοι, Ἄφρων Σεμεεὶ, ϗ κεκατηραμένε.
Τί γὰρ καταρᾷς, τί δὲ ϗ βάλλεις λίθοις Τὸν εὐλογητὸν τῷ Θεῷ Δαβίδ; λέγε.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Λοιμὸς ἀνὴρ Σεμεεὶ Δαβὶδ τὸν ἄνακτα πέτροισι
Κακκεφαλῆς ποτ᾽ ἔπαιεν, ἀρὰς δὲ ἐπέχευε βαρείας.
Τῷ δ᾽ ἐπιάλτο Ἀβισσὰ κατακτανέειν μενεαίνων,
Ἀλλά ἑ Δαβὶδ ὅμως κατερύκακεν ἐσσύμενόν περ.

### ΕΙΣ ΑΒΕΣΣΑΛΩΜ ΜΙΓΝΥΜΕΝΟΝ ΤΑΙΣ ΠΑΛΛΑΚΑΙΣ τοῦ πατρὸς, ἐξ ὑποβολῆς Ἀχιτόφελ.

Ἀβεσσαλὼμ δείλαιε τί δρᾷς; εἰπέ μοι Τὰ τοῦ τεκόντος φεῦ! καθυβρίζεις λέχη
Πεισθεὶς ἀβούλως τοῖς λόγοις Ἀχιτόφελ; Ὄντως τὸ θεῖον κατὰ σοῦ θήγεις ξί-
(φος.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἀχιτόφελ μέγ᾽ ἄπιςε, σοφὸς μὲν ἄρ᾽ ἔπλεο εἰπεῖν,

Καὶ



Καὶ πιθανὸς πραπίδεσσιν (ἀτὰρ ἀθεώτατος ἄλλων)
Εἰ γὰρ ἂν ἐκ γονέτου λεχέων ἀποέργαθες υἱὸν,
Οὐδέ ἑ τοῖς δ᾽ ἐπέτελλες ἐνυβρίσαι, αἴσυλα ῥέζων.

### ΕΙΣ ΑΒΕΣΣΑΛΩΜ ΠΡΟΤΙΜΩΝΤΑ ΤΗΝ ΒΟΥΛΗΝ ΧΟΥΣΙ τῆς βουλῆς Ἀχιτόφελ, ὅτε αὐτὸς Ἀχιτόφελ ἀπήγξατο.

Θεοῦ τὸ τυφλοῦν ϗ βλέπειν ποιεῖν μόνου, Ἀβεσσαλὼμ εἰς δεῖγμα κείσθω τῷ λό-
Ἐξουθενώσας τοὺς λόγους Ἀχιτόφελ, Δεξάμενος δὲ Χουσὶ τὴν συμβουλίαν. (γῳ,

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ταῦτά σοι ἐς᾽ ἐπίχειρα φιλοπτολέμων ἐφετμάων
Ἀχιτόφελ κακόμητι, λυγρὸς μόρος, ὡς γὰρ ἄκουσας
Χουσὶ σέθεν πραπίδεσσι κεκρυμμένον ἔμμεν᾽ ἀρείω,
Τῆμος ὁμοῦ μὲν ἄκουσας, ὁμοῦ δέ τ᾽ ἀπήγξαο τάλαν.

### ΕΙΣ ΑΒΕΣΣΑΛΩΜ ΑΙΩΡΗΘΕΝΤΑ ΕΚ ΤΡΙΧΩΝ ΕΠΙ δένδρου, ϗ φονευθέντα.

Θέλω φαλάκραν, ἢ καλὰς ἔχειν τρίχας, Εἴ μοι θάνατον προξενοῦσιν αἱ τρίχες.
Ἀβεσσαλὼμ γὰρ μὴ καλὰς ἔχων τρίχας, Οὐκ ἂν ἑάλω, ϗ φονευθεὶς ἐφθάρη.

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ᾽ ὁ ἐκ πλοκάμων τετανυσμένος; οὐκ Ἀβεσσαλὼμ
Κεῖνος; ὁ δ᾽ ὡς ἐπάρατος ἐπὶ ξύλου ἐςὶ τανυσθεὶς,
Οὕνεχ᾽ ἑῷ γονέτῃ φονόεσσας ἔμβαλε χεῖρας
Ἀλλ᾽ ὁ μὲν αὖτι σέσωσο, ὁ δ᾽ ἄθλιον οἶτον ἐπέσπεν.

### ΕΙΣ ΔΑΒΙΔ ΑΡΙΘΜΗΣΑΝΤΑ ΤΟΝ ΙΣΡΑΗΛ, ΚΑΙ ΠΑΡΟΞΥΝΑΝ-τα ἐπὶ τούτῳ τὸν Θεὸν, ὡς τοῦ λαοῦ μέρος ἀποκτεῖναι πολύ.

Ἀθ᾽ ὧν τὸν ἀμέτρητον Ἰσραηλίτην Δαβὶδ ἀριθμεῖς, ϗ περικλείεις μέτρῳ,
Ἰδοὺ Θεοῦ χεὶρ κατὰ τῶν μετρουμένων, Εἰς Ὀρνὰ τὴν ἅλωνα τὸ ξίφος βλέπε·

### ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τρισσοῖς ἀμφὶ κακοῖσι μέσος περὶ Δαβὶδ ἐερχθεὶς,
Ἠὲ τρισσοῖς λυκάβασι βίῃ λιμοῖο παλαῖσαι,
Ἢ μήνεσσι τρισσοῖσιν ἀλυσκάζειν ξίφος ἐχθρῶν,
Ἢ τρισὶν ἤμασι λαὸν ὄλυσθαι· ἄρ᾽ εἵλετο τοῦτο.

ΒΑΣΙ-

# ΒΑΣΙΛΕΙΩΝ Γ'.

ΕΙΣ ΔΑΒΙΔ ΨΥΧΡΩΘΕΝΤΑ ΤΩ ΓΗΡΑ, ΚΑΙ ΜΕΤΑ
παρθένου καθεύδοντα διὰ τὸ θερμαίνεσθαι.

Ἡ συγγενής σοι, καὶ φυσικὴ θερμότης Μαρασμὸν ἔσχε τῷ μακρῷ Δαβὶδ χρόνῳ.
Νόθη σε λοιπὸν θερμότης θερμαινέτω, Οὐκ ἐκ σισύρας, ἐκ δὲ καλῆς παρθένου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Κουριδίῃ τριγέροντι ἀνὰ ξυνὰ δέμνια βαίνει,
Θαῦμα, καὶ ἀμφὶ νέοισι γύοις γυῖα ῥυσσὰ συνάπτει.
Οὐδέ οἱ ὥσπερ ἄκοιτις ἑῷ ἐπιμίσγεται ἀνδρί,
Ψυχρότερον δὲ θέρουσι παλαιβίου ἀνέρος ὁλκόν.

ΕΙΣ ΟΡΝΙΑΝ ΤΟΝ ΔΑΒΙΔ ΥΙΟΝ, ΟΣ ΣΦΕΤΕΡΙΖΟΜΕΝΟΣ
ἑαυτῷ τὴν βασιλείαν ἔθυε, καὶ ἐπτερνίσθη ὑπὸ Σαλομών.

Ὢ βουθυτῶν σύ, καὶ γεγηθὼς Ὀρνία, Σὺ μὲν σεαυτὸν εἰς βασιλέα χρίεις,
Τὸν Σαλομῶν δὲ Κύριος, Δαβίδ, Νάθαν, Πάντως δέ τι δράσουσιν οἱ τρεῖς σου
(πλέον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Βηρσαβεὲ κροτάλιζε, χεροῖν δ' ἐπὶ κύμβαλα παῖζε.
Παῖδα τεὸν γὰρ ἔοιδες ἐφ' ἡμιόνοιο βεβῶτα
Βασιλικῆς, ἧς καί ποτ' ἄναξ ἐπεβήσατο Δαβίδ.
Πατρικὸν πρὸ θόωκον ἱδρυμένον οἶον ἀπ' ἄλλων.

ΕΙΣ ΤΗΝ ΤΕΛΕΥΤΗΝ ΔΑΒΙΔ, ΟΤΕ ΚΑΙ ΤΩ ΣΑΛΟ-
μῶν ἐνετείλατο ἀποκτεῖναι Σεμεεί.

Ὁ πραότατος νῦν ἐπ' αὐτῷ θανάτῳ Τῆς πραότητος ὡσπερεὶ λήθην τρέφεις,
Παρεγγυᾷς δὲ Σαλομὼν τῷ παιδί σου κτανεῖν Σεμεεί; θανατῶντος οἱ λόγοι.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Οὗτος ἐκεῖνος ἔνερθεν ὑπὸ χθόνα κάππεσε Δαβίδ,
Ὃς βιόων πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσε,
Πολλὰ δ' ἄρ' ἔργα τέλεσσε θεουδέα, πολλὰ δ' ὑπέστη
Ἄλγεα ὧ ἐνὶ θυμῷ, ἀτὰρ Θεῷ ἔπλεθ' ἑταῖρος.





ΕΙΣ ΟΡΝΙΑΝ ΑΠΑΝΤΩΝΤΑ ΒΕΡΣΑΒΕΕ, ΚΑΙ ΔΙΑ ΜΕΣΗΣ ΑΥΤΗΣ
δεόμενον τοῦ Σαλομών, λαβεῖν εἰς γυναῖκα τὸ συγκαθευδῆσαν
ἐν γήρᾳ τῷ Δαβὶδ κόριον

Αἰτεῖς γυναῖκα τὴν Ἀβισὰκ Ὀρνία, Θάνατον αἰτεῖς καὶ θάνατον ἀθρόον.
Τοῦ Σαλομὼν γὰρ τὴν φρόνησιν οὐ λάθῃς Αἰτῶν δι' αὐτῆς τὴν βασιλείαν ὅλην.
λειπομένων τινῶν στίχων, τοὺς δὲ ὀκτὼ προσέθηκεν ὁ Γέντιος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὀρνίας κόριον καλὸν αἰτεῖ, τήν ποτ' Ἀβισὰκ.
Ἐς ῥα γυναῖκα λαβεῖν, ἀλλ' οὐ τόδε πρᾶγμα τελεῖται.
Μᾶλλον ὁ γὰρ προθυμεῖ βασιλείας γ' ἀντιλαβέσθαι.
Ὢ δολόεν, κακόμητι ἄνερ, πῶς ταῦτα σὺ ῥέζεις;

ΕΙΣ ΘΑΝΑΤΟΝ ΙΩΑΒ, ΟΤΕ ΑΥΤΟΝ Ο ΣΑΛΟΜΩΝ
ἐνέτελλε φονευθῆναι.

Τὸν ἀμπλακοῦντα γοῦν Ἰωὰβ τιννύει Ὁ Σαλομὼν ἐφετμὰς συντελῶν πατρός.
Παρεγγυᾷ μὲν οὕτω πάντας δὴ κτανεῖν Ὅσοι γ' ἀδικήσαντιν ἄνθρωπον πάλαι.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἄμπλακες ἐς γονέτην κακὰ ῥέξας δῖε Ἰωὰβ.
Ἄμπλακες ἐς γονέτην, καὶ υἱέος ἔμπεσες ὀργῇ.
Ὕβριν γὰρ πατέρος μετατίννυσι, καί σε φονεύει,
Δαβὶδ ὑστατίην ἀνικεύθων φρεσσὶν ἐφετμήν.

ΕΙΣ ΤΟ ΕΝΥΠΝΙΟΝ ΣΑΛΟΜΩΝ, ΟΣ Ο, ΤΙ ΚΑΙ ΒΟΥΛΟΙΤΟ
λαβεῖν ἐρωτήσαντος τοῦ Θεοῦ, σοφίαν ἀπεκρίνατο.

Τί Σαλομὼν ἐν βίῳ λαβεῖν θέλεις; Φρόνησιν οὐχὶ πλοῦτον, οὐ πλάτος βίου;
Φρόνησιν, οὐχὶ τρόπαια; δικαίαν κρίσιν. Καὶ ταῦτά μοι, κἀκεῖνα συλλαβὼν
(ἔχε

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὕπνος ἐνὶ βλεφάροισι γλυκὺς χύτο τοῖς Σαλομῶντος,
Αὐτάρ οἱ ὑψιμέδων ἰθὺς κίεν, ἤρετο δ' αὐτόν,
Ἅσσα λαβεῖν ἐθέλῃσι δι' αἰθέρος· ὃς δὲ σοφίην
Ἤτεεν, οὐδ' ἀφάμαρτε, τέλος δέ οἱ ἔσχεν ἐέλδωρ.

ΕΙΣ ΤΗΝ ΕΠΙ ΤΩ ΑΜΦΙΒΟΛΩ ΒΡΕΦΕΙ ΚΡΙΣΙΝ ΣΑΛΟΜΩΝ.

Μέσου τεθέντος ἀμφιμητρίου βρέφους, πρίων προήχθη τῇ Σαλομῶντος κρίσει

Πλὴν ἡ προαχθεὶς οὐκ ἔκοψε τὸ βρέφος, Τῶν μητέρων δ' οὖν ἐξέκοψε τὴν μάχην

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἠελίοιο φόως ἀετιδέσιν ἔπλετ' ἔλεγχος,
Ὅστε νόθος τελέθει, ὅστ' ἴδιος αἰετοῦ υἱός,
Καὶ Κελτῶν βρεφέεσσι καλὸν Ῥήνοιο ῥέεθρον,
Μητράσι δ' αὖτε νόθῃσι καὶ οὐχὶ νόθοις, ὅδε πρίων.

ΕΙΣ ΤΟΝ ΝΑΟΝ, ΟΝ ΕΔΕΙΜΑΤΟ ΣΑΛΟΜΩΝ.

Εἰ χρὴ κατοικεῖν τὸν Θεὸν πρὸς τοῖς κάτω, Πρὸς τῇ Σαλομὼν χρὴ κατοικεῖν ἑστίᾳ.
Πανεμφερῆ γὰρ οὐρανοῦ φέρει τύπον, Καὶ κάλλος αὐχεῖ τῇ Θεοῦ δόξῃ πρέπον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ξεῖνε θέλεις σοφίης ὅσσον κράτος ἐστὶν ἰδέσθαι;
Τῷ Σαλομῶν ἀτένισσον, ὃ γὰρ Θεῷ οὐρανὸν ἄλλον
Πήγνυσιν ἐν Σολύμοισι, νεὼν τὸν ἄριστον ἁπάντων.
Ἦ ῥά Θεῷ τι χρῆμα ὁμοίιον ἐστὶ σοφίη.

ΕΙΣ ΤΗΝ ΕΙΔΟΛΟΛΑΤΡΕΙΑΝ ΣΑΛΟΜΩΝ.

Ὁ τὴν φρόνησιν Σαλομὼν ὁ τὴν κρίσιν, Νῦν ἀφρόνως εἴδωλον Ἀστάρτης σέβει
Καὶ τοῦ Χαμὼς βδέλυγμα τοῦ Μωαβίτου. Ἀνθ' οὗ Θεὸς ῥήγνυσιν αὐτοῦ τὸ κράτος

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἔρρετ' ἐμῶν λεχέων ἀπόπροθι φῦλα γυναικῶν,
Ἔρρετε, ἦ γὰρ ἐγὼ μάλα δείδια, τοῦ Σαλομῶντος
Ἐξ ὑμέων θείοιο κότου μέσον ἐμβεβαῶτος.
Οὕνεκα κακοθέοισι θεοῖς σέβας ὤπασε θεῖον.

ΕΙΣ ΤΗΝ ΔΙΑΙΡΕΣΙΝ ΚΡΑΤΟΥΣ ΣΑΛΟΜΩΝ, ΟΤΕ ΚΑΙ Ο ΜΕΝ δοῦλος αὐτοῦ τῶν δέκα ἦρξε φυλῶν, ὁ δὲ υἱὸς τῶν δύω.

Βλέψον Σαλομὼν, εἴ τι καὶ θανὼν βλέπεις, Διαίρεσίν σου, καὶ μερισμὸν τοῦ κράτους.
Καὶ πῶς ὁ παῖς σου σκῆπτρα κληροῦται δύο. Ὁ δ' οἰκέτης κύριος ἐστὶ τῶν δέκα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δοιοὶ ἐν Ἰσραὴλ μετέσαν Σαλομῶν βασιλῆες,
Ὃς μὲν ἀνακτορέης ἐξ ὀσφύος εἰς βίον ἥκων,
Ὃς δὲ δμωὸς ἄνακτος· ἀτὰρ πλέον ἄρξεν ὁ δοῦλος.
Δώδεκα γὰρ φυλάων ἀπο(ε)ίλετο τὰς δέκα πάσας.

ΕΙΣ



ΕΙΣ ΤΗΝ ΔΥΣΣΕΒΕΙΑΝ ΑΧΑΑΒ, ΔΙ' ΗΝ ΚΑΙ ΤΟΥΣ οὐρανοὺς Ἠλίας ἀπέκλεισε.

Καὶ πατρόθεν μὲν δυσσεβεῖς, καὶ πάπποθεν Ἄναξ Ἀχαὰβ τῆς Σαμαρείας ὅλης.
Ἡ σὴ δὲ δυσσέβεια νικᾷ τὰς πάλαι· Ἀνθ' ὧν κέκλεικεν οὐρανοὺς ὁ Θεσβίτης.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τρισσοῖς ἐν λυκάβασι καὶ ἓξ ἐνὶ μήνεσι πᾶσι
Γαῖαν ἐπ' αὐαλέην οὐρανόθεν οὐ πέσεν ὄμβρος,
Ἠλίου γὰρ ἄνωγεν ὁ δ' ἔκλυε φαίδιμος αἰθήρ.
Ἔκλυεν, οὐδ' ἀπίθησε, κακόφροσιν ἄλγε' ἐγείρων.

ΕΙΣ ΗΛΙΑΝ ΥΠΟ ΚΟΡΑΚΩΝ ΤΡΕΦΟΜΕΝΟΝ.

Σὺ μὲν σπαταλᾷς καὶ γέγηθας Ἠλία, Καὶ δειπναγωγοῖς τοῖς κόραξιν ἐκτρέφῃ
Ὁ πᾶς δὲ λαὸς τῆς Σαμαρείας φθίνει. Λῦσον τὰ δεσμὰ τῶν νεφῶν, βροχὴν δίδου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὀρνίθεσσι φάγοισι κοράκεσι, θαῦμα ἰδέσθαι,
Ἠλίου ὦστε δμώεσσι δειπνοφόροισιν ὑπεργῇ·
Πᾶσα δέ τοι Σαμάρεια ἀπάγχεται, αἰθέρα γὰρ σὺ
Κλείσας ἑοῖς χείλεσσιν, ὁ δ' οὐ χθόνα ὕδατι δεῦσεν.

ΕΙΣ ΤΗΝ ΣΑΡΑΦΘΙΑΝ ΤΡΕΦΟΥΣΑΝ ΤΟΝ ΗΛΙΑΝ.

Ἀνθ' ὧν σεαυτῆς ἀμελεῖς καὶ τῶν τέκνων, Τὸν δὲ προφήτην ἐκτρέφεις Σαραφθία.
Ἔλαιον ἀκένωτον εἰς τὸν καμψάκην, Ἄλευρον ἀπλήρωτον εἰς σὴν ὑδρίαν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πειναλέον τὸν Θέσβηθεν γεγαῶτα προφήτην
Ἠλίου ἀμφὶ τεὴν καλύβην ὑποδέχνυσο χήρη,
Καί οἱ ἄλευρα πάλυνον ἐλαίοφι, δὸς δὲ φαγέσθαι,
Ὄφρα σοί ἐστ' ἀτέλεστα μετ' ἄγγεσι ταῦτ' ἐνὶ λιμῷ.

ΕΙΣ ΗΛΙΑΝ ΑΝΙΣΤΩΝΤΑ ΤΟΝ ΥΙΟΝ ΤΗΣ ΣΑΡΑΦΘΙΑΣ

Ἔχουσα συγκάτοικον αὐτὸν Ἠλίαν Φοβῇ θάνατον, εἰπέ μοι Σαραφθία;
Φοβῇ θάνατον; ἀγνοεῖς τὸν Ἠλίαν; Πιστὸν τὸ ῥῆμα ζῇ πάλιν τὸ παιδίον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Μηκέτ' ἀπὸ βλεφάρων θαλερὸν κατὰ δάκρυον εἶβε
Χήρη, μηδ' ὀλόλυζε τὸν υἱέα νεκρὸν ἐόντα,

Οὐκέ-

Οὐκέτι γὰρ νεκύεσσιν ὁμοίϊον ὕπνον ἄϋπνοι,
Ε῎γρετο δ᾽ ἐξ Ἀΐδαο, τοῦ Ἡλιοῦ οὔνομα δείσας.

ΕΙΣ ΤΗΝ ΘΥΣΙΑΝ ΗΛΙΟΥ, ΚΑΘ᾽ ΗΝ ΚΑΙ ΤΟΥΣ ἱερεῖς τοῦ Βάαλ ἀπέκτεινε

Γὴν τῶν προφητῶν τοῦ Βααλ πανπτερμίαν Θεοῦ προφήτης εἷς τροποῦται καὶ μόνος
Τὸ πῦρ γὰρ ἐξήλεγξεν αὐτῶν τὴν πλάνην Εἰς τὴν θυσίαν ἐμπεσὸν τοῦ Θεσβίτου.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πῦρ ποτ᾽ ἀπ᾽ οὐρανόθεν χαμάδις πέσε, φλέξε δὲ θῦμα
Ἠλιοῦ, σχιδάκεσσι καὶ ὕδατι, καὶ χοΐ αὐτῷ.
Πῦρ καὶ ἀπ᾽ Ἠλιάο ζηλωτάο δαΐον ἤφθη,
Καὶ πάντας κατέκαυσε Βάαλ μιαροὺς ἱερῆας.

ΕΙΣ ΤΗΝ ΑΠΟ ΠΡΟΣΩΠΟΥ ΙΕΖΑΒΕΛ ΦΥΓΗΝ ΗΛΙΟΥ.

Ὁ τὰς ἁπάσας οὐρανοῦ κλείων θύρας, Νεκροὺς δ᾽ ἀνιστῶν θαυματουργῶν δὲ ζῶα,
Νῦν ἐκδιδράσκει, τὴν Ἰεζάβελ τρέμων· Ζηλῶ μὲν αὐτοῦ τὴν φυγὴν, καὶ τὸν φόβον.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Θηλυτέρη βασίλεια Ἰεζάβελ Ἠλιοῦ αὐτῷ
Χώσατο, λυγροτάτην δὲ φόνου ἐνετείνατ᾽ ἀπειλήν,
Ταρβήσας δ᾽ ὅ δ᾽ ἔειπε πρὸς ὃν μεγαλήτορα θυμὸν,
Φύξις ἀρειοτέρη, καὶ ἔκφυγον ἤματα μακρά.

ΕΙΣ ΤΗΝ ΕΝ ΧΩΡΗΒ ΤΩ ΟΡΕΙ ΕΝΤΥΧΙΑΝ ΘΕΟΥ ΚΑΙ ΗΛΙΟΥ

Δέξαι τὸ Χωρὴβ Ἠλιοῦ τὸν Θεσβίτην, Ἐξ ἀσιτίας τεσσαρακονθημέρου,
Φυγῆς τε μακρᾶς, καὶ πλάνης κεκμηκότα, Καὶ θρέψον αὐτὸν τῇ Θεοῦ συνουσίᾳ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Πνεῦμα μέγα κρατερὸν προελήλυθε οὔρεα λύον,
Σὺν δὲ πέτρους κλονέον, σεισμὸς καὶ πῦρ μετὰ τοῦτο,
Καὶ σφιν ἔτ᾽ οὐχὶ Θεὸς μετεφαίνετο, αὔρα δὲ λεπτή,
Καί οἱ ἀφ᾽ ὑψιμέδων Θεσβίταο ἀντίος ἔστη

ΕΙΣ ΤΟΝ ΕΡΟΝ ΑΧΑΑΒ, ΟΝ ΕΡΑΣΘΕΙΣ ΤΟΥ ΑΜΠΕΛΩΝΟΣ Ναβουσθαὶ, αὐτὸν μὲν ἀπέκτεινε, τὸν δὲ ἀμπελῶνα ἐκληρονόμησεν.

Μικρὸν τὸ κράτος τῆς Σαμαρείας ὅλης Ἄναξ Ἀχαάβ, μικρὸν εἰ κτῆσις σοί·

Ω῾ς



Ὡς καὶ τὸν ἀμπελῶνα Ναβουσθαὶ θέλειν. Ὡς ἄρα θνητῶν ἀκόρεστος ἡ φύσις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὤφελες ὦ Ναβουσθαὶ ἀπόκληρος φῦναι γῆς
Φυτλαμένοιο πατρὸς, μηδὲ βραχὺ πλέθρον ἀρούρης
Εὕρεο κλῆρον κτῆμα πατρώϊον, οὐ γὰρ ἂν ὤλου,
Εἴ κεν ἄκληρος ἔῃς. κλῆρος δέ σοι ὤπασε κῆρα.

# ΒΑΣΙΛΕΙΩΝ Δ΄.

ΕΙΣ ΟΧΟΖΙΑΝ ΤΟΝ ΒΑΣΙΛΕΑ, ΟΣ ΝΟΣΩΝ ΕΠΕΜΨΕ ΠΡΟΣ Βάαλ ἐρωτῆσαι εἰ ζήσεται, καὶ ὅπως ὑπαντήσας τοῖς ἀπεσταλμένοις Ἠλιοῦ προεῖπεν, ὡς οὐ ζήσεται

Ἀνθ᾽ οὗ Θεὸν μὲν ἀγνοεῖς Ὀχοζία, Ζητεῖς δὲ μαθεῖν ἐκ Βάαλ, εἰ ζῇς ἔτι.
Ἐξ Ἠλιοῦ μάνθανε πικρὸν μὲν λόγον, Πλὴν ἀλλὰ πιστὸν. οὐκ ἀναστῇς τῆς κλίνης.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίπτε κάρα τρισάθλιε Ὀχοζία, αἶσχος ἀνάκτων,
Νούσῳ ἐν ἀργαλέῃ κακκείμενος ἤρεο Βάαλ,
Εἴ κεν ἔτι ζωοῖσι μετέσσεαι, ἢ φθιμένοισι;
Πύθεο τοῦ Θέσβηθεν, ὃ γάρ πρὸ μόρον τοι ἐνίσπῃ.

ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΗΛΙΟΥ.

Ὡς ἀνελήφθης εὖ γινώσκω Θεσβίτα, Πῶς δ᾽ ἀνελήφθης εὖ γινώσκειν οὐκ ἔχω,
Ὅταν δ᾽ ἀνέλθῃς καὶ σὺ πρὸς πυρὸς δίφρον, Καὶ πλησιάσῃς τοῖς ἀνωτέρω, μάθῃς.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Τίς ποθ᾽ ὅδ᾽ ἐν νεφέλῃσι μετήορος ἅρματι βαίνει,
Ἅρματι αἰθαλόεντι, καὶ ἀτρέμας ἡνιοχεύει;
Οὐδὲ πυρὸς τρομέῃσι μένος μέγα, μή μιν ὀλέσσῃ;
Ἠλίας ὅ δ᾽ ἑταῖρε μετ᾽ αἰθέρος αἴρετ᾽ ἐς ὕψος.

ΕΙΣ ΤΗΝ ΜΗΛΩΤΗΝ ΗΛΙΟΥ ΤΕΜΝΟΥΣΑΝ τὸν Ἰορδάνην.

Γῆς ἰσχύος σοῦ! μανδύα τοῦ Θεσβίτου, Διχῆ διαιρεῖς τὸν μέγαν Ἰορδάνην,

Βρο-

SISMANOGLIO MEGARO

Βροτοῖς δὲ βατὸν τὸν τέως πλωτὸν τίθης, Ἀπὸ προφήτου πρὸς προφήτην ἰγμένος.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Βυσσὸν ἐρυθραῖον μὲν ἐείδετο ἥλιος ἅπαξ,
Αὐτὰρ Ἰορδάνην ϗ πολλάκι βλέψε δι' ἄλλων,
Καὶ δι' Ἐλισσαίου θεήσατο ἄρτι μετ' αὖον.
Μηλωτῆς τόδε ἔργον, ἣ Ἠλίου ἔσκεπεν ὤμους.

ΕΙΣ ΤΑ ΠΑΙΔΑΡΙΑ ΤΑ ΔΙΑ ΤΟ ΕΝΥΒΡΙΣΑΙ
τῇ φαλάκρᾳ Ἐλισσαίου βρω-
θῶντα ἄρκτοις.

Μωκᾶσθε παῖδες τὴν Ἐλισσαίου κάραν Φαλακρὰν οὖσαν ϗ κατεψιλωμένην.
Ὑμᾶς δὲ πάντως αὐτὸς οὐ μωκήσεται, Ἄρκτοις δὲ δώσει βρῶμα τοῖς δασυτρίχοις.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Διπλῆ τοι Ἐλισσαῖε ἡ Ἠλίου ἤντετο χάρις,
Διπλῆ, ἀτὰρ διπλοῦν ϗ τὸ ἰταμώτερον ἦθος,
Παισὶ γὰρ ἀφρονέουσι φάγους ἐπιώρινας ἄρκτους,
Οὕνεκα σὴν φαλάκρην κακῶς ἔφαν ἄφρονι θυμῷ.

ΕΙΣ ΤΟΝ ΤΗΣ ΣΩΜΑΝΙΤΙΔΟΣ ΥΙΟΝ
ἀπὸ Ἐλισσαίου ζωοποιούμενον.

Ἀντὶ ξενίας εὐτελοῦς Σωμανῖτις, Κατηγγυήθης ἐξ Ἐλισσαίου βρέφος.
Ὃ ϗ τεθνηκὸς ἐξανέστη σοι πάλιν, Διπλῆν διδόντος τοῦ προφήτου τὴν χάριν.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Υἱέϊ Σωμανίτιδος ἀπὸ πνοιὴν ὀλέσαντι
Ἀγχόθι κί' Ἐλισσαῖος, ἀτὰρ στόματι στόμ' ἔρεισε,
Καί τε κόρῃσι κόρας, ϗ παλάμας παλάμῃσι.
Καί οἱ ὅδ' ἐξ Ἀΐδου ἀναδέδρομεν ἠελιόνδε.

ΕΙΣ ΓΙΕΖΗ ΤΟ ΠΑΙΔΑΡΙΟΝ ΕΛΙΣΣΑΙΟΥ, ΟΠΩΣ ΕΚ ΝΕΕΜΑΝ
τοῦ ἰαθέντος τὴν λέπραν, ἄργυρον λαβὼν, αὐτὸς ἀντελεπρώθη.

Πωλεῖς τὸ πνεῦμα ϗ πιπράσκεις τὴν χάριν,
Ἄφρον Γιεζῆ, πρὸς Νεεμὰν τὸν Σύρον,
Θάρρει, λαβὴς γὰρ οὐ τὸν ἄργυρον μόνον,
Ἀλλὰ ξὺν αὐτῷ ϗ Νεεμὰν τὴν λέπραν.

ΕΙΣ



ΕΙΣ ΤΟ ΑΥΤΟ.

Δυσὶν ἐπ' ἀμπλακίῃσι, κλοπῇ τε ψευδοσύνῃ τε,
Ἐν τόδε τοι ἐπίχειρον ἐπ' ἄξιον ἦλθε Γιεζῇ,
Λέπρα βροτοῖς μέγα πῆμα, νόσων ὀλοωτάτη ἄλλων,
Ἤ, ϗ ὑβριζόμενος μιμνήσκεο ἀμπλακιάων.

ΕΙΣ ΙΗΣΟΥΝ ΤΟΝ ΑΠΟΚΤΕΙΝΑΝΤΑ ΤΟ ΠΑΝ
Ἀχαὰβ γένος, ϗ αὐτὴν Ἰεζάβελ.

Χαίροις Ἰησοῦ καρτερόστομε σπάθη, Ἥτις τὸ σύμπαν Ἀχαὰβ φθείρεις γένος.
Καὶ συγκαθαιρεῖς τοὺς προφήτας τοῦ Βάαλ, Καὶ τὴν μιαρὰν κτιννύεις Ἰεζάβελ.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἠλίου ἥν ποτ' ἔδεισεν Ἰεζάβελ, ἥν ποτ' ἀπέδρα
Θηλυτέρην πικρόθυμον, ἀπηνέα, τέκνον ἐχίδνης,
Ὑψόθεν ἐκκυλίσας χαμάδις βάλε, πέφνε δ' Ἰησοῦς,
Σῶμα δέ οἱ κύνεσσι, ϗ οἰωνοῖς πόρε δεῖπνον.

ΕΙΣ ΤΟΝ ΠΛΗΣΙΑΣΑΝΤΑ ΤΟΙΣ ΟΣΤΟΙΣ ΕΛΙΣΣΑΙΟΥ
νεκρὸν ϗ ἀναστάντα.

Νεκροὺς ἀνιστᾷ ϗ θανὼν Ἐλισσαῖος, Πῶς οὖν ἑαυτὸν οὐκ ἀνιστᾷ τοῦ τάφου;
Οὐ γὰρ ἐκείνου, τοῦ Θεοῦ δὲ τὸ δρᾶμα, Τιμῶντος οἶμαι ϗ προφητῶν ὀστέα.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ὅς ποτε Σωμανίτιδος ἀπὸ χθονὸς ἤγαγεν υἱὸν,
Εἰς χθόνα νῦν ζοφερὴν καταπέμπεται. ἀλλὰ ϗ ἔμπης
Νεκρὸν ἔνερθεν ἄγῃσι παρ' ὀστέα τοῦδε ταφέντα,
Θαῦμα μέγα, φθίμενος ζωοῖσιν ἐνώσατο νεκρόν.

ΕΙΣ ΤΟΝ ΘΡΗΝΟΝ ΕΖΕΚΙΟΥ, ΚΑΙ ΤΗΝ ΠΡΟΣΘΕΣΙΝ ΤΗΣ ΑΥΤΟΥ ΖΩΗΣ.

Ὡς χαρμόσυνα δακρύεις Ἐζεκία, Τὸ ζῆν γὰρ ἅπαν ἔσχες ἐκ τῶν δακρύων.
Ὀφθαλμέ μου στάλαζε ῥεῖθρα δακρύων, Ἐν τῇ τελευτῇ ϗ τάχα ζωῆς τύχω.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

Ἐζεκίαν ποτ' ἄγριος ἐπήλυθε πότμος ἄνακτα,
Αὐτὰρ ὁ ϗ θανάτου πυλεώνεσιν ἴχνια βάπτων
Λίσσετο δακρυχέων· καί οἱ Θεὸς ἔκλυεν αὐδῆς,
Πρόσθετο δ' οἱ βιότου λυκάβαντας σὺν δέκα πέντε.

ΤΟΥ

SISMANOGLIO MEGARO